instead-of the better having-preferred
Ζητεῖς δὲ καὶ τὴν αἰτίαν τυχὸν τῆς κατὰ τὴν βουλὴν 6
you-seek but also the cause perhaps of-the according-to the counsel
διαμαρτίας· εἰς τοῦτο γὰρ ἡ ἀκολουθία τὸν λόγον φέρει.
failure to this for the consequence the word bears
οὐκοῦν πάλιν ἀρχή τις ἡμῖν κατὰ τὸ εὔλογον εὑρεθήσεται,
therefore again beginning some for-us according-to the reasonable will-be-found
ἢ καὶ τοῦτο σαφηνίσει τὸ ζήτημα. τοιοῦτόν τινα λόγον
which also this will-make-clear the question such some word
παρὰ τῶν πατέρων διεδεξάμεθα· ἔστι δὲ ὁ λόγος οὐ μυθώδης
from the fathers we-received is but the word not mythical
διήγησις, ἀλλ' ἐξ αὐτῆς τῆς φύσεως ἡμῶν τὸ πιστὸν
narrative but from itself the nature our the credible

ἐπαγόμενος. διπλῆ τίς ἐστιν ἐν τοῖς οὖσιν ἡ κατανόησις, εἰς
bringing-in double some is in the beings the understanding into
τὸ νοητόν τε καὶ αἰσθητὸν τῆς θεωρίας διῃρημένης. καὶ
the intelligible both and sensible the contemplation having-been-divided and
οὐδὲν ἂν παρὰ ταῦτα καταληφθείη ἐν τῇ τῶν ὄντων φύσει
nothing — beside these-things would-be-grasped in the of-the beings nature
τῆς διαιρέσεως ταύτης ἔξω φερόμενον. διῄρηται δὲ ταῦτα
of-the division this outside being-borne are-divided but these-things
πρὸς ἄλληλα πολλῷ τῷ μέσῳ, ὡς μήτε τὴν αἰσθητὴν
from one-another by-much the middle so-that neither the sensible
ἐν τοῖς νοητοῖς εἶναι γνωρίσμασι, μήτε ἐν τοῖς αἰσθητοῖς
in the intelligible to-be marks nor in the sensible
ἐκείνην, ἀλλ᾽ ἀπὸ τῶν ἐναντίων ἑκατέραν χαρακτηρίζεσθαι.
that but from the opposites each to-be-characterized
ἡ μὲν γὰρ νοητὴ φύσις ἀσώματόν τι χρῆμά ἐστι καὶ
the indeed for intelligible nature incorporeal some thing is and
ἀναφὲς καὶ ἀνείδεον· ἡ δὲ αἰσθητὴ κατ᾽ αὐτὸ τὸ ὄνομα
intangible and formless the but sensible according-to itself the name
ἐντός ἐστι τῆς διὰ τῶν αἰσθητηρίων κατανοήσεως. ἀλλ᾽
within is of-the through the sense-organs understanding but
ὥσπερ ἐν αὐτῷ τῷ αἰσθητῷ κόσμῳ, πολλῆς πρὸς ἄλληλα
as in itself the sensible world much toward one-another
τῶν στοιχείων οὔσης ἐναντιώσεως, ἐπινενόηταί τις ἁρμονία
of-the elements being opposition has-been-devised some harmony
διὰ τῶν ἐναντίων ἁρμοζομένη παρὰ τῆς τοῦ παντὸς
through the opposites being-harmonized by the of-the whole
ἐπιστατούσης σοφίας, καὶ οὕτως πάσης γίνεται πρὸς ἑαυτὴν
presiding wisdom and so of-all becomes toward itself
συμφωνία τῆς κτίσεως, οὐδαμοῦ τῆς φυσικῆς ἐναντιότητος
concord of-the creation nowhere the natural contrariety
τὸν τῆς συμπνοίας εἱρμὸν διαλυούσης· κατὰ τὸν αὐτὸν
the of-the unity sequence dissolving according-to the same

τρόπον καὶ τοῦ αἰσθητοῦ πρὸς τὸ νοητὸν γίνεταί τις
manner also of-the sensible toward the intelligible becomes some
κατὰ θείαν σοφίαν μίξις τε καὶ ἀνάκρασις, ὡς ἂν πάντα
according-to divine wisdom mixture both and blending that — all-things
τοῦ καλοῦ κατὰ τὸ ἴσον μετέχοι καὶ μηδὲν τῶν ὄντων
of-the beautiful according-to the equal may-partake and nothing of-the beings
ἀμοιροίη τῆς τοῦ κρείττονος φύσεως. διὰ τοῦτο
may-be-without-share of-the of-the better nature because-of this
τὸ μὲν κατάλληλον τῇ νοητῇ φύσει χωρίον ἡ λεπτὴ
the indeed suitable to-the intelligible nature region the fine
καὶ εὐκίνητός ἐστιν οὐσία, κατὰ τὴν ὑπερκόσμιον λῆξιν
and easily-moved is substance according-to the supercosmic lot
πολλὴν ἔχουσα τῷ ἰδιάζοντι τῆς φύσεως πρὸς τὸ νοητὸν
much having by-the peculiarity of-the nature toward the intelligible
τὴν συγγένειαν, προμηθείᾳ δὲ κρείττονι πρὸς τὴν αἰσθητὴν
the kinship by-forethought but better toward the sensible
κτίσιν γίνεταί τις τοῦ νοητοῦ συνανάκρασις, ὡς ἂν μηδὲν
creation becomes some of-the intelligible commingling that — nothing
ἀπόβλητον εἴη τῆς κτίσεως, καθώς φησιν ὁ ἀπόστολος,
to-be-thrown-away may-be of-the creation as says the apostle
μηδὲ τῆς θείας κοινωνίας ἀπόκληρον. τούτου χάριν ἐκ
nor of-the divine communion without-share for-this for-the-sake from
νοητοῦ τε καὶ αἰσθητοῦ τὸ κατὰ τὸν ἄνθρωπον μίγμα
intelligible both and sensible the according-to the man mixture
παρὰ τῆς θείας ἀναδείκνυται φύσεως, καθὼς διδάσκει τῆς
by the divine is-shown nature as teaches of-the
κοσμογονίας ὁ λόγος· Λαβὼν γὰρ ὁ θεός, φησιν, χοῦν
cosmogony the word having-taken for — god he-says dust
ἀπὸ τῆς γῆς τὸν ἄνθρωπον ἔπλασε καὶ διὰ τῆς ἰδίας
from the earth the man molded and through the own
ἐμπνεύσεως τῷ πλάσματι τὴν ζωὴν ἐνεφύτευσεν, ὡς ἂν
inbreathing to-the molding the life implanted that —

συνεπαρθείη τῷ θείῳ τὸ γήινον καὶ μία τις κατὰ
may-be-lifted-up-with with-the divine the earthy and one some according-to
τὸ ὁμότιμον διὰ πάσης τῆς κτίσεως ἡ χάρις διήκοι,
the equal-honor through all the creation the grace may-pervade
τῆς κάτω φύσεως πρὸς τὴν ὑπερκόσμιον συγκιρναμένης.
the below nature with the supercosmic being-blended
ἐπεὶ οὖν τῆς νοητῆς κτίσεως προυποστάσης, καὶ ἑκάστῃ
since then the intelligible creation having-pre-existed and to-each
τῶν ἀγγελικῶν δυνάμεων πρὸς τὴν τοῦ παντὸς σύστασιν
of-the angelic powers for the of-the whole constitution
ἐνεργείας τινὸς παρὰ τῆς τῶν πάντων ἐπιστατούσης
activity some by the of-the all presiding
ἐξουσίας προσνεμηθείσης, ἦν τις δύναμις καὶ ἡ τὸν
authority having-been-assigned there-was some power also the(-one) the
περίγειον τόπον συνέχειν τε καὶ περικρατεῖν τεταγμένη, εἰς
earthly region to-hold-together both and to-govern appointed to
αὐτὸ τοῦτο δυναμωθεῖσα παρὰ τῆς τὸ πᾶν οἰκονομούσης
itself this empowered by the(-one) the whole administering
δυνάμεως· εἶτα κατεσκευάσθη τὸ γήινον πλάσμα, τῆς ἄνω
power then was-fashioned the earthy molding of-the above
δυνάμεως ἀπεικόνισμα· τοῦτο δὲ τὸ ζῷον ὁ ἄνθρωπος·
power likeness this but the living-creature the man
καὶ ἦν ἐν αὐτῷ τὸ θεοειδὲς τῆς νοητῆς φύσεως κάλλος,
and there-was in him the godlike of-the intelligible nature beauty
ἀρρήτῳ τινὶ δυνάμει συγκεκραμένον· δεινὸν ποιεῖται καὶ
with-unspeakable some power blended dreadful makes and
οὐκ ἀνεκτὸν ὁ τὴν περίγειον οἰκονομίαν λαχών,
not bearable the(-one) the earthly administration having-obtained
εἰ ἐκ τῆς ὑποχειρίου αὐτῷ φύσεως ἀναδειχθήσεταί τις
if from the subject to-him nature will-be-shown some
οὐσία πρὸς τὴν ὑπερέχουσαν ἀξίαν ὡμοιωμένη. τὸ
substance to the surpassing dignity likened the(-thing)

δ᾽ ὅπως ἐπὶ τὸ πάθος κατερρύη τοῦ φθόνου ὁ ἐπὶ
but how into the passion slid-down of-the envy the(-one) for
μηδενὶ κακῷ κτισθεὶς παρὰ τοῦ τὸ πᾶν ἐν ἀγαθότητι
no evil created by the(-one) the whole in goodness
συστησαμένου, τὸ μὲν δι᾽ ἀκριβείας ἐπεξιέναι οὐ τῆς
having-constituted the indeed through exactness to-go-through not of-the
παρούσης πραγματείας ἐστί, δυνατὸν δ᾽ ἂν εἴη καὶ
present treatise is possible but — would-be also
δι᾽ ὀλίγου τοῖς εὐπειθεστέροις παραθέσθαι τὸν λόγον.
through little to-the more-docile to-set-before the word
τῆς γὰρ ἀρετῆς καὶ τῆς κακίας οὐχ ὡς δύο τινῶν καθ᾽
of-the for virtue and of-the vice not as two some according-to
ὑπόστασιν φαινομένων ἡ ἀντιδιαστολὴ θεωρεῖται· ἀλλ᾽
hypostasis appearing the contradistinction is-contemplated but
ὥσπερ ἀντιδιαιρεῖται τῷ ὄντι τὸ μὴ ὂν καὶ οὐκ ἔστι
as is-set-against to-the being the not being and not it-is-possible
καθ᾽ ὑπόστασιν εἰπεῖν τὸ μὴ ὂν ἀντιδιαστέλλεσθαι
according-to hypostasis to-say the not being to-be-contradistinguished
πρὸς τὸ ὄν, ἀλλὰ τὴν ἀνυπαρξίαν ἀντιδιαιρεῖσθαι λέγομεν
toward the being but the nonexistence to-be-set-against we-say
πρὸς τὴν ὕπαρξιν, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ κακία
toward the existence according-to the same manner also the vice
τῷ τῆς ἀρετῆς ἀντικαθέστηκε λόγῳ, οὐ καθ᾽ ἑαυτήν τις
to-the of-the virtue stands-opposed definition not by itself some
οὖσα, ἀλλὰ τῇ ἀπουσίᾳ νοουμένη τοῦ κρείττονος· καὶ
being but by-the absence being-thought of-the better and
ὥσπερ φαμὲν ἀντιδιαιρεῖσθαι τῇ ὁράσει τὴν πήρωσιν,
as we-say to-be-set-against to-the sight the blindness
οὐ καθ᾽ ἑαυτὴν οὖσαν τῇ φύσει τὴν πήρωσιν, ἀλλὰ
not by itself being in-the nature the blindness but
προλαβούσης ἕξεως στέρησιν, οὕτω καὶ τὴν κακίαν ἐν
of-preceding habit privation so also the vice in

τῇ τοῦ ἀγαθοῦ στερήσει θεωρεῖσθαι λέγομεν, οἷόν
the of-the good privation to-be-contemplated we-say as-it-were
τινα σκιὰν τῇ ἀναχωρήσει τῆς ἀκτῖνος ἐπισυμβαίνουσαν.
some shadow on-the withdrawal of-the ray supervening
ἐπειδὴ τοίνυν ἡ ἄκτιστος φύσις τῆς κινήσεως τῆς κατὰ
since therefore the uncreated nature of-the movement the according-to
τροπὴν καὶ μεταβολὴν καὶ ἀλλοίωσίν ἐστιν ἀνεπίδεκτος,
turning and change and alteration is not-admitting
πᾶν δὲ τὸ διὰ κτίσεως ὑποστὰν συγγενῶς πρὸς τὴν
all but the(-thing) through creation having-subsisted kindredly toward the
ἀλλοίωσιν ἔχει, διότι καὶ αὐτὴ τῆς κτίσεως ἡ ὑπόστασις
alteration is because also itself of-the creation the hypostasis
ἀπὸ ἀλλοιώσεως ἤρξατο, τοῦ μὴ ὄντος εἰς τὸ εἶναι θείᾳ
from alteration began the not being into the to-be by-divine
δυνάμει μετατεθέντος· κτιστὴ δὲ ἦν καὶ ἡ μνημονευθεῖσα
power having-been-transferred created but was also the mentioned
δύναμις, αὐτεξουσίῳ κινήματι τὸ δοκοῦν αἱρουμένη·
power by-self-determining movement the(-thing) seeming choosing
ἐπειδὴ πρὸς τὸ ἀγαθόν τε καὶ ἄφθονον ἐπέμυσεν ὄμμα,
since to the good both and ungrudging it-shut eye
ὥσπερ ὁ ἐν ἡλίῳ τοῖς βλεφάροις τὰς ὄψεις ὑποβαλὼν
as the(-one) in sun with-the eyelids the sight having-put-under
σκότος ὁρᾷ, οὕτω κἀκεῖνος αὐτῷ τῷ μὴ θελῆσαι τὸ
darkness sees so also-that-one by-very the not to-wish the
ἀγαθὸν νοῆσαι τὸ ἐναντίον τῷ ἀγαθῷ κατενόησε.
good to-conceive the opposite to-the good conceived
τοῦτο δέ ἐστιν ὁ φθόνος. ὁμολογεῖται δὲ παντὸς
this but is the envy it-is-confessed but of-every
πράγματος ἀρχὴν τῶν μετ᾽ αὐτὴν κατὰ τὸ
thing beginning of-the(-things) after it according-to the
ἀκόλουθον ἐπισυμβαινόντων αἰτίαν εἶναι, οἷον τῇ ὑγείᾳ τὸ
consequence supervening cause to-be as to-the health the

εὐεκτεῖν, τὸ ἐργάζεσθαι, τὸ καθ᾽ ἡδονὴν βιοτεύειν·
to-be-in-good-condition the to-work the according-to pleasure to-live
τῇ δὲ νόσῳ τὸ ἀσθενεῖν, τὸ ἀνενέργητον εἶναι, τὸ ἐν
to-the but disease the to-be-weak the inactive to-be the in
ἀηδίᾳ τὴν ζωὴν ἔχειν. οὕτω καὶ τὰ ἄλλα πάντα ταῖς
unpleasantness the life to-have so also the other-things all the
οἰκείαις ἀρχαῖς κατὰ τὸ ἀκόλουθον ἕπεται. ὥσπερ οὖν
own beginnings according-to the consequence follow as then
ἡ ἀπάθεια τῆς κατ᾽ ἀρετὴν ζωῆς ἀρχὴ καὶ ὑπόθεσις
the impassibility of-the according-to virtue life beginning and foundation
γίνεται, οὕτως ἡ διὰ τοῦ φθόνου γενομένη πρὸς κακίαν
becomes so the through the envy having-come-to-be toward vice
ῥοπὴ τῶν μετ᾽ αὐτὴν πάντων ἀναδειχθέντων κακῶν ὁδὸς
inclination of-the after it all having-been-shown evils road
κατέστη. ἐπειδὴ γὰρ ἅπαξ πρὸς τὸ κακὸν τὴν ῥοπὴν
was-established since for once toward the evil the inclination
ἔσχεν ὁ τῇ ἀποστροφῇ τῆς ἀγαθότητος ἐν ἑαυτῷ
had the(-one) by-the turning-away of-the goodness in himself
γεννήσας τὸν φθόνον, ὥσπερ λίθος ἀκρωρείας ἀπορραγεὶς
having-begotten the envy as stone from-ridge broken-off
ὑπὸ τοῦ ἰδίου βάρους πρὸς τὸ πρανὲς συνελαύνεται, οὕτω
by the own weight toward the downward is-driven so
κἀκεῖνος, τῆς πρὸς τὸ ἀγαθὸν συμφυίας ἀποσπασθεὶς καὶ
also-that-one the toward the good natural-union having-been-torn-away and
πρὸς κακίαν βρίσας, αὐτομάτως οἷόν τινι βάρει πρὸς
toward vice having-sunk spontaneously as by-some weight to
τὸν ἔσχατον τῆς πονηρίας ὅρον συνωσθεὶς ἀπηνέχθη,
the last of-the wickedness boundary having-been-pushed was-carried-off
καὶ τὴν διανοητικὴν δύναμιν, ἣν εἰς συνέργειαν τῆς τοῦ
and the intellectual power which for cooperation of-the of-the
κρείττονος μετουσίας ἔσχε παρὰ τοῦ κτίσαντος, ταύτην
better participation he-had from the(-one) having-created this

εἰς εὕρεσιν τῶν κατὰ κακίαν ἐπινοουμένων συνεργὸν
for finding of-the(-things) according-to vice being-devised fellow-worker
ποιησάμενος, εὐμηχάνως περιέρχεται δι᾽ ἀπάτης τὸν
having-made ingeniously goes-round through deceit the
ἄνθρωπον, αὐτὸν ἑαυτοῦ γενέσθαι πείσας φονέα τε καὶ
man him of-himself to-become having-persuaded murderer both and
αὐτόχειρα. ἐπειδὴ γὰρ διὰ τῆς θείας εὐλογίας δυναμωθεὶς
self-slayer since for through the divine blessing empowered
ὁ ἄνθρωπος ὑψηλὸς μὲν ἦν τῷ ἀξιώματι· βασιλεύειν γὰρ
the man lofty indeed was in-the dignity to-reign for
ἐτάχθη τῆς γῆς τε καὶ τῶν ἐπ᾽ αὐτῆς πάντων·
he-was-appointed of-the earth both and of-the(-things) upon it all
καλὸς δὲ τὸ εἶδος· ἀπεικόνισμα γὰρ τοῦ ἀρχετύπου
beautiful but in-the form likeness for of-the archetypal
ἐγεγόνει κάλλους· ἀπαθὴς δὲ τὴν φύσιν· τοῦ γὰρ ἀπαθοῦς
he-had-become beauty impassible but in-the nature of-the for impassible
μίμημα ἦν· ἀνάπλεως δὲ παρρησίας, αὐτῆς κατὰ
imitation he-was full but of-boldness itself according-to
πρόσωπον τῆς θείας ἐμφανείας κατατρυφῶν· ταῦτα δὲ τῷ
face of-the divine manifestation reveling-in these-things but for-the
ἀντικειμένῳ τοῦ κατὰ τὸν φθόνον πάθους ὑπεκκαύματα
adversary of-the according-to the envy passion kindlings
ἦν· ἰσχύι δέ τινι καὶ βίᾳ δυνάμεως κατεργάσασθαι
were by-strength but some and by-force of-power to-accomplish
τὸ κατὰ γνώμην οὐχ οἷός τε ἦν· ὑπερίσχυε γὰρ
the(-thing) according-to purpose not able — he-was prevailed for
ἡ τῆς εὐλογίας τοῦ θεοῦ δύναμις τῆς τούτου βίας·
the of-the blessing — of-god power over-the of-this-one force
διὰ τοῦτο ἀποστῆσαι τῆς ἐνισχυούσης αὐτὸν δυνάμεως
because-of this to-separate from-the strengthening him power
μηχανᾶται, ὡς ἂν εὐάλωτος αὐτῷ πρὸς τὴν ἐπιβουλὴν
he-contrives that — easily-caught for-him toward the plot

κατασταίη. καὶ ὥσπερ ἐπὶ λύχνου τοῦ πυρὸς
he-might-be-made and as in-the-case-of lamp the fire
τῆς θρυαλλίδος περιδεδραγμένου, εἴ τις ἀδυνατῶν τῷ
the wick having-grasped if anyone being-unable by-the
φυσήματι σβέσαι τὴν φλόγα ὕδωρ ἐμμίξειε τῷ ἐλαίῳ
blowing to-quench the flame water should-mix-in with-the oil
διὰ τῆς ἐπινοίας ταύτης ἀμαυρώσει τὴν φλόγα, οὕτως
through the device this will-dim the flame so
δι᾽ ἀπάτης τῇ προαιρέσει τοῦ ἀνθρώπου τὴν κακίαν
through deceit with-the choice of-the man the vice
ἐμμίξας ὁ ἀντικείμενος σβέσιν τινὰ καὶ ἀμαύρωσιν
having-mixed-in the adversary quenching some and dimming
τῆς εὐλογίας ἐποίησεν, ἧς ἐπιλειπούσης ἐξ ἀνάγκης τὸ
of-the blessing made of-which failing of necessity the
ἀντικείμενον ἀντεισέρχεται. ἀντίκειται δὲ τῇ ζωῇ μὲν ὁ
opposite enters-instead is-opposed but to-the life indeed the
θάνατος, ἡ ἀσθένεια δὲ τῇ δυνάμει, τῇ εὐλογίᾳ δὲ ἡ
death the weakness but to-the power to-the blessing but the
κατάρα, τῇ παρρησίᾳ δὲ ἡ αἰσχύνη καὶ πᾶσι τοῖς ἀγαθοῖς
curse to-the boldness but the shame and to-all the good-things
τὰ κατὰ τὸ ἐναντίον νοούμενα. διὰ τοῦτο ἐν
the(-things) according-to the opposite conceived because-of this in
τοῖς παροῦσι κακοῖς ἐστὶ νῦν τὸ ἀνθρώπινον, τῆς ἀρχῆς
the present evils is now the human of-the beginning
ἐκείνης τοῦ τοιούτου τέλους τὰς ἀφορμὰς παρασχούσης.
that of-the such end the starting-points having-provided

Against the Manichaeans, who judge good by the senses: evil is the absence of good, so God, who made sight and not blindness, is not its cause. Nor is death evil: the garments of skin, the beasts' mortality, were put on man so that his body, dissolved as a potter breaks a vessel to free it of lead, might be remolded clean of vice; what vice the soul keeps is healed by virtue now or by a painful cure hereafter. God foresaw the fall and the recall, and only the giver of life could call man back.

7 Καὶ μηδεὶς ἐρωτάτω, εἰ προειδὼς τὴν ἀνθρωπίνην
and no-one let-ask if having-foreseen the human
συμφορὰν ὁ θεὸς τὴν ἐκ τῆς ἀβουλίας αὐτῷ
misfortune — god the(-one) from the ill-counsel to-him
συμβησομένην ἦλθεν εἰς τὸ κτίσαι τὸν ἄνθρωπον, ᾧ
going-to-befall he-came to the to-create the man for-whom
τὸ μὴ γενέσθαι μᾶλλον ἴσως ἢ τὸ ἐν κακοῖς εἶναι
the not to-come-to-be rather perhaps than the in evils to-be
λυσιτελέστερον ἦν. ταῦτα γὰρ οἱ τοῖς Μανιχαικοῖς
more-profitable was these-things for the(-ones) by-the Manichaean
δόγμασι δι' ἀπάτης παρασυρέντες εἰς σύστασιν τῆς
doctrines through deceit carried-away for establishment of-the
ἑαυτῶν πλάνης προβάλλουσιν, ὡς διὰ τούτου πονηρὸν
their-own error put-forward as through this wicked
εἶναι τὸν τῆς ἀνθρωπίνης φύσεως κτίστην ἀποδεικνύοντες.
to-be the of-the human nature creator showing
εἰ γὰρ ἀγνοεῖ μὲν τῶν ὄντων οὐδὲν ὁ θεός, ἐν
if for is-ignorant-of indeed of-the beings nothing — god in
κακοῖς δὲ ὁ ἄνθρωπος, οὐκέτ' ἂν ὁ τῆς ἀγαθότητος
evils but the man no-longer — the of-the goodness
τοῦ θεοῦ διασώζοιτο λόγος, εἴπερ ἐν κακοῖς μέλλοντα
— of-god would-be-preserved definition if-indeed in evils going
τὸν ἄνθρωπον ζήσεσθαι πρὸς τὸν βίον παρήγαγεν. εἰ γὰρ
the man to-live into the life he-brought if for

ἀγαθῆς φύσεως ἡ κατὰ τὸ ἀγαθὸν ἐνέργεια πάντως
of-good nature the according-to the good activity altogether
ἐστίν, ὁ λυπηρὸς οὗτος καὶ ἐπίκηρος βίος οὐκέτ' ἄν,
is the grievous this and perishable life no-longer —
φησίν, εἰς τὴν τοῦ ἀγαθοῦ δημιουργίαν ἀνάγοιτο, ἀλλ'
he-says to the of-the good creation would-be-referred but
ἕτερον χρὴ τῆς τοιαύτης ζωῆς αἴτιον οἴεσθαι, ᾧ πρὸς
other one-must of-the such life cause to-think by-which toward
πονηρίαν ἡ φύσις ἐπιρρεπῶς ἔχει. ταῦτα γὰρ πάντα καὶ
wickedness the nature inclined is these-things for all and
τὰ τοιαῦτα τοῖς μὲν ἐν βάθει καθάπερ τινὰ δευσοποιὸν
the such-things to-the(-ones) indeed in depth as some indelible
βαφὴν τὴν αἱρετικὴν παραδεδεγμένοις ἀπάτην ἰσχύν τινα
dye the heretical having-received deceit strength some
διὰ τῆς ἐπιπολαίου πιθανότητος ἔχειν δοκεῖ· τοῖς δὲ
through the superficial plausibility to-have seems to-the(-ones) but
διορατικωτέροις τῆς ἀληθείας σαθρὰ ὄντα καὶ πρόχειρον
more-perceptive of-the truth unsound being and ready-to-hand
τὴν τῆς ἀπάτης ἀπόδειξιν ἔχοντα σαφῶς καθορᾶται. καί
the of-the deceit proof having clearly are-seen and
μοι δοκεῖ καλῶς ἔχειν τὸν ἀπόστολον ἐν τούτοις συνήγορον
to-me it-seems well to-be the apostle in these advocate
τῆς κατ' αὐτῶν κατηγορίας προστήσασθαι. διαιρεῖ γὰρ
of-the against them accusation to-set-forward he-divides for
ἐν τῷ πρὸς Κορινθίους λόγῳ τάς τε σαρκώδεις καὶ τὰς
in the to Corinthians word the both fleshly and the
πνευματικὰς τῶν ψυχῶν καταστάσεις, δεικνύς, οἶμαι, διὰ
spiritual of-the souls states showing I-think through
τῶν λεγομένων, ὅτι οὐ δι' αἰσθήσεως τὸ καλὸν ἢ τὸ
the(-things) said that not through sense the beautiful or the
κακὸν κρίνειν προσήκει, ἀλλ' ἔξω τῶν κατὰ τὸ σῶμα
evil to-judge it-befits but outside the(-things) according-to the body

φαινομένων τὸν νοῦν ἀποστήσαντας, αὐτὴν ἐφ' ἑαυτῆς
appearing the mind having-withdrawn itself by itself
τοῦ καλοῦ τε καὶ τοῦ ἐναντίου διακρίνειν τὴν φύσιν. ὁ
of-the beautiful both and of-the opposite to-distinguish the nature the
γὰρ πνευματικός, φησίν, ἀνακρίνει τὰ πάντα. ταύτην
for spiritual he-says judges the(-things) all this
οἶμαι τὴν αἰτίαν τῆς τῶν δογμάτων τούτων μυθοποιίας
I-think the cause of-the of-the doctrines these mythmaking
τοῖς τὰ τοιαῦτα προφέρουσιν ἐγγεγενῆσθαι, ὅτι
for-the(-ones) the such-things putting-forward to-have-been-engendered that
πρὸς τὸ ἡδὺ τῆς σωματικῆς ἀπολαύσεως τὸ ἀγαθὸν
toward the pleasant of-the bodily enjoyment the good
ὁριζόμενοι διὰ τὸ πάθεσι καὶ ἀρρωστήμασιν ὑποκεῖσθαι
defining because-of the to-sufferings and to-sicknesses to-be-subject
κατ' ἀνάγκην τὴν τοῦ σώματος φύσιν σύνθετον οὖσαν
of necessity the of-the body nature composite being
καὶ εἰς διάλυσιν ῥέουσαν, ἐπακολουθεῖν δέ πως τοῖς
and into dissolution flowing to-follow and somehow the
τοιούτοις παθήμασιν ἀλγεινήν τινα αἴσθησιν, πονηροῦ θεοῦ
such sufferings painful some sensation of-wicked god
τὴν ἀνθρωποποιίαν ἔργον εἶναι νομίζουσιν.
the man-making work to-be they-think
ὡς εἴγε πρὸς τὸ ὑψηλότερον ἔβλεπεν αὐτοῖς ἡ
as if-indeed toward the higher looked for-them the
διάνοια, καὶ τῆς περὶ τὰς ἡδονὰς διαθέσεως τὸν νοῦν
understanding and from-the about the pleasures disposition the mind
ἀποικίσαντες ἀπαθῶς ἐπεσκόπουν τὴν τῶν ὄντων φύσιν,
having-removed impassibly they-surveyed the of-the beings nature
οὐκ ἂν ἄλλο τι κακὸν εἶναι παρὰ τὴν πονηρίαν
not — other something evil to-be beside the wickedness
ᾠήθησαν. πονηρία δὲ πᾶσα ἐν τῇ τοῦ ἀγαθοῦ
they-would-have-thought wickedness but all in the of-the good

στερήσει χαρακτηρίζεται, οὐ καθ' ἑαυτὴν οὖσα, οὐδὲ καθ'
privation is-characterized not by itself being nor according-to
ὑπόστασιν θεωρουμένη· κακὸν γὰρ οὐδὲν ἔξω προαιρέσεως
hypostasis being-contemplated evil for nothing outside choice
ἐφ' ἑαυτοῦ κεῖται, ἀλλὰ τῷ μὴ εἶναι τὸ ἀγαθὸν οὕτω
by itself lies but by-the not to-be the good so
κατονομάζεται. τὸ δὲ μὴ ὂν οὐχ ὑφέστηκε, τοῦ δὲ μὴ
is-named the but not being not subsists of-the but not
ὑφεστῶτος δημιουργὸς ὁ τῶν ὑφεστώτων δημιουργὸς
subsisting creator the(-one) of-the subsisting creator
οὐκ ἔστιν. οὐκοῦν ἔξω τῆς τῶν κακῶν αἰτίας ὁ θεὸς
not is therefore outside the of-the evils cause — god
ὁ τῶν ὄντων, οὐχ ὁ τῶν μὴ ὄντων ποιητὴς ὤν·
the(-one) of-the beings not the(-one) of-the not being maker being
ὁ τὴν ὅρασιν, οὐ τὴν πήρωσιν δημιουργήσας· ὁ
the(-one) the sight not the blindness having-created the(-one)
τὴν ἀρετήν, οὐ τὴν στέρησιν αὐτῆς ἀναδείξας· ὁ ἆθλον
the virtue not the privation of-it having-shown the(-one) prize
τῆς προαιρέσεως τὸ τῶν ἀγαθῶν γέρας τοῖς κατ'
of-the choice the of-the good-things reward to-the(-ones) according-to
ἀρετὴν πολιτευομένοις προθείς, οὐκ ἀνάγκῃ τινὶ βιαίᾳ
virtue living having-set-forth not by-necessity some forcible
πρὸς τὸ ἑαυτῷ δοκοῦν ὑποζεύξας τὴν ἀνθρωπίνην
to the(-thing) to-himself seeming having-yoked the human
φύσιν, καθάπερ τι σκεῦος ἄψυχον ἀκουσίως πρὸς τὸ
nature as some vessel soulless unwillingly toward the
καλὸν ἐφελκόμενος. εἰ δὲ τοῦ φωτὸς ἐξ αἰθρίας καθαρῶς
beautiful drawing if but the light from clear-sky purely
περιλάμποντος ἑκουσίως τις ὑποβάλοι τοῖς βλεφάροις
shining-around willingly anyone should-put-under the eyelids
τὴν ὅρασιν, ἔξω τῆς τοῦ μὴ βλέποντος αἰτίας ὁ ἥλιος.
the sight outside the of-the(-one) not seeing cause the sun

8 Ἀλλ᾽ ἀγανακτεῖ πάντως ὁ πρὸς τὴν διάλυσιν βλέπων
but is-vexed altogether the(-one) to the dissolution looking
τοῦ σώματος, καὶ χαλεπὸν ποιεῖται τῷ θανάτῳ τὴν ζωὴν
of-the body and grievous makes by-the death the life
ἡμῶν διαλύεσθαι, καὶ τοῦτό φησι τῶν κακῶν ἔσχατον
our to-be-dissolved and this he-says of-the evils last
εἶναι, τὸ τὸν βίον ἡμῶν τῇ νεκρότητι σβέννυσθαι. οὐκοῦν
to-be the the life our by-the deadness to-be-quenched therefore
ἐπισκεψάσθω διὰ τοῦ σκυθρωποῦ τούτου τὴν ὑπερβολὴν
let-him-consider through the gloomy this the excess
τῆς θείας εὐεργεσίας· τάχα γὰρ ἂν μᾶλλον διὰ τούτων
of-the divine benefaction perhaps for — rather through these
προσαχθείη θαυμάσαι τὴν χάριν τῆς περὶ τὸν ἄνθρωπον
he-would-be-brought to-marvel-at the grace of-the about the man
τοῦ θεοῦ κηδεμονίας. τὸ ζῆν διὰ τὴν τῶν καταθυμίων
— of-god care the to-live because-of the of-the desired-things
ἀπόλαυσιν αἱρετόν ἐστι τοῖς τοῦ βίου μετέχουσιν.
enjoyment choiceworthy is for-the(-ones) of-the life partaking
ὡς εἴ γέ τις ἐν ὀδύναις διαβιώῃ, παρὰ πολὺ τῷ
so-that if indeed anyone in pains should-live-through by much to-the
τοιούτῳ τὸ μὴ εἶναι τοῦ ἀλγεινῶς εἶναι προτιμότερον
such the not to-be than-the painfully to-be more-preferable
κρίνεται. οὐκοῦν ἐξετάσωμεν εἰ ὁ τῆς ζωῆς χορηγὸς
is-judged therefore let-us-examine whether the of-the life provider
πρὸς ἄλλο τι βλέπει, καὶ οὐχ ὅπως ἂν ἐν τοῖς
to other something looks and not how — in the
καλλίστοις βιώημεν. ἐπειδὴ γὰρ τῷ αὐτεξουσίῳ κινήματι
most-beautiful-things we-may-live since for by-the self-determining movement
τοῦ κακοῦ τὴν κοινωνίαν ἐπεσπασάμεθα, διά τινος
of-the evil the communion we-drew-upon-ourselves through some
ἡδονῆς οἷόν τι δηλητήριον μέλιτι παραρτυθὲν τῇ φύσει
pleasure as some poison with-honey seasoned with-the nature

τὸ κακὸν καταμίξαντες, καὶ διὰ τοῦτο τῆς κατὰ
the evil having-mixed and because-of this from-the according-to
τὸ ἀπαθὲς νοουμένης μακαριότητος ἐκπεσόντες, πρὸς τὴν
the impassible conceived blessedness having-fallen to the
κακίαν μετεμορφώθημεν, τούτου ἕνεκεν οἷόν τι σκεῦος
vice we-were-transformed for-this for-the-sake as some vessel
ὀστράκινον πάλιν ὁ ἄνθρωπος εἰς γῆν ἀναλύεται, ὅπως ἂν
earthen again the man into earth is-dissolved that —
τῆς νῦν ἐναπειλημμένης αὐτῷ ῥυπαρίας ἀποκριθείσης εἰς
the now intercepted in-him filth having-been-separated into
τὸ ἐξ ἀρχῆς σχῆμα διὰ τῆς ἀναστάσεως ἀναπλασθείη.
the from beginning form through the resurrection he-may-be-remolded
τὸ δὲ τοιοῦτον δόγμα ἱστορικώτερον μὲν καὶ δι᾽
the but such doctrine more-historically indeed and through
αἰνιγμάτων ὁ Μωσῆς ἡμῖν ἐκτίθεται. πλὴν ἔκδηλον καὶ
riddles — Moses to-us sets-forth however manifest also
τὰ αἰνίγματα τὴν διδασκαλίαν ἔχει. ἐπειδὴ γάρ, φησίν,
the riddles the teaching have since for he-says
ἐν τοῖς ἀπηγορευμένοις ἐγένοντο οἱ πρῶτοι ἄνθρωποι καὶ
in the forbidden-things were the first men and
τῆς μακαριότητος ἐκείνης ἀπεγυμνώθησαν, δερματίνους
of-the blessedness that were-stripped of-skins
ἐπιβάλλει χιτῶνας τοῖς πρωτοπλάστοις ὁ κύριος· οὔ μοι
puts-on tunics the first-formed the lord not to-me
δοκεῖ πρὸς τὰ τοιαῦτα δέρματα τοῦ λόγου τὴν διάνοιαν
seems to the such skins of-the word the meaning
φέρων· ποίων γὰρ ἀποσφαγέντων τε καὶ δαρέντων
bearing of-what-kind-of for slaughtered both and flayed
ζῴων ἐπινοεῖται αὐτοῖς ἡ περιβολή; ἀλλ᾽, ἐπειδὴ πᾶν
animals is-conceived for-them the covering but since every
δέρμα χωρισθὲν τοῦ ζῴου νεκρόν ἐστι, πάντως οἶμαι
skin separated from-the animal dead is altogether I-think

τὴν πρὸς τὸ νεκροῦσθαι δύναμιν, ἣ τῆς ἀλόγου φύσεως
the toward the to-be-made-dead power which of-the irrational nature
ἐξαίρετος ἦν, ἐκ προμηθείας μετὰ ταῦτα τοῖς ἀνθρώποις
peculiar was from forethought after these-things on-the men
ἐπιβεβληκέναι τὸν τὴν κακίαν ἡμῶν ἰατρεύοντα, οὐχ
to-have-put-on the(-one) the vice our healing not
ὡς εἰς ἀεὶ παραμένειν· ὁ γὰρ χιτὼν τῶν ἔξωθεν
as to always to-remain the for tunic of-the(-things) from-outside
ἡμῖν ἐπιβαλλομένων ἐστί, πρὸς καιρὸν τὴν ἑαυτοῦ χρῆσιν
on-us being-put-on is for season the its-own use
παρέχων τῷ σώματι, οὐ συμπεφυκὼς τῇ φύσει.
providing to-the body not grown-together with-the nature
οὐκοῦν ἐκ τῆς τῶν ἀλόγων φύσεως ἡ νεκρότης
therefore from the of-the irrational nature the deadness
οἰκονομικῶς περιετέθη τῇ εἰς ἀθανασίαν κτισθείσῃ φύσει,
economically was-put-around the for immortality created nature
τὸ ἔξωθεν αὐτῆς περικαλύπτουσα, οὐ τὸ ἔσωθεν, τὸ
the outside of-it covering not the inside the
αἰσθητὸν τοῦ ἀνθρώπου μέρος διαλαμβάνουσα, αὐτῆς
sensible of-the man part taking-hold-of itself
δὲ τῆς θείας εἰκόνος οὐ προσαπτομένη. λύεται δὲ τὸ
but the divine image not touching is-dissolved but the
αἰσθητόν, οὐκ ἀφανίζεται. ἀφανισμὸς μὲν γάρ ἐστιν ἡ εἰς
sensible not is-made-to-vanish vanishing indeed for is the into
τὸ μὴ ὂν μεταχώρησις· λύσις δὲ ἡ εἰς τὰ τοῦ κόσμου
the not being passing-over dissolution but the into the of-the world
στοιχεῖα πάλιν, ἀφ' ὧν τὴν σύστασιν ἔσχε, διάχυσις.
elements again from which the constitution it-had diffusion
τὸ δὲ ἐν τούτοις γενόμενον οὐκ ἀπόλωλε, κἂν ἐκφεύγῃ
the but in these having-come-to-be not has-perished even-if it-escape
τὴν κατάληψιν τῆς ἡμετέρας αἰσθήσεως. ἡ δὲ αἰτία
the apprehension of-the our sense the but cause

τῆς λύσεως δήλη διὰ τοῦ ῥηθέντος ἡμῖν ὑποδείγματος.
of-the dissolution clear through the spoken by-us example
ἐπειδὴ γὰρ ἡ αἴσθησις πρὸς τὸ παχύ τε καὶ γήινον
since for the sense toward the thick both and earthy
οἰκείως ἔχει, κρείττων δὲ καὶ ὑψηλοτέρα τῶν κατ᾽
akin is better but and higher than-the according-to
αἴσθησιν κινημάτων ἡ νοερὰ φύσις, διὰ τοῦτο τῆς
sense movements the intellectual nature because-of this the
περὶ τὸ καλὸν κρίσεως ἐν τῇ δοκιμασίᾳ τῶν αἰσθήσεων
about the beautiful judgment in the testing of-the senses
ἁμαρτηθείσης, τῆς δὲ τοῦ καλοῦ διαμαρτίας τὴν τῆς
having-been-mistaken the but of-the beautiful failure the of-the
ἐναντίας ἕξεως ὑπόστασιν ἐνεργησάσης, τὸ ἀχρειωθὲν
opposite habit hypostasis having-effected the useless
ἡμῶν μέρος τῇ παραδοχῇ τοῦ ἐναντίου λύεται. ὁ δὲ τοῦ
our part by-the reception of-the opposite is-dissolved the but of-the
ὑποδείγματος λόγος τοιοῦτός ἐστι. δεδόσθω τι σκεῦος
example account such is let-be-granted some vessel
ἐκ πηλοῦ συνεστηκέναι, τοῦτο δὲ πλῆρες ἔκ τινος
from clay to-have-been-composed this but full from some
ἐπιβουλῆς γεγενῆσθαι τετηκότος μολίβδου, τὸν δὲ μόλιβδον
plot to-have-become of-melted lead the but lead
ἐγχεθέντα παγῆναι καὶ μένειν ἀπρόχυτον, ἀντιποιεῖσθαι δὲ
poured-in to-have-set and to-remain not-poured-out to-lay-claim but
τοῦ σκεύους τὸν κεκτημένον, ἔχοντα δὲ τοῦ κεραμεύειν
to-the vessel the(-one) having-acquired having but of-the potter's-art
τὴν ἐπιστήμην περιθρύψαι τῷ μολίβδῳ τὸ ὄστρακον·
the knowledge to-break-round the lead the earthenware
εἶθ᾽ οὕτως πάλιν κατὰ τὸ πρότερον σχῆμα πρὸς τὴν
then so again according-to the former form toward the
ἰδίαν ἑαυτοῦ χρῆσιν ἀναπλάσαι τὸ σκεῦος, κενὸν τῆς
own his use to-remold the vessel empty of-the

ἐμμιχθείσης ὕλης γενόμενον. οὕτως οὖν καὶ ὁ τοῦ ἡμετέρου
mixed-in matter having-become so then also the of-the our
σκεύους πλάστης, τῷ αἰσθητικῷ μέρει, τῷ κατὰ
vessel molder to-the sensitive part the(-one) according-to
τὸ σῶμά φημι, τῆς κακίας καταμιχθείσης, διαλύσας τὴν
the body I-mean the vice having-been-mixed having-dissolved the
παραδεξαμένην τὸ κακὸν ὕλην, πάλιν ἀμιγὲς τοῦ ἐναντίου
having-received the evil matter again unmixed with-the opposite
διὰ τῆς ἀναστάσεως ἀναπλάσας, πρὸς τὸ ἐξ ἀρχῆς
through the resurrection having-remolded toward the from beginning
κάλλος ἀναστοιχειώσει τὸ σκεῦος. ἐπειδὴ δὲ σύνδεσίς τις
beauty will-re-element the vessel since but bond some
καὶ κοινωνία τῶν κατὰ ἁμαρτίαν παθημάτων γίνεται
and communion of-the according-to sin sufferings becomes
τῇ τε ψυχῇ καὶ τῷ σώματι, καί τις ἀναλογία τοῦ
to-the both soul and to-the body and some analogy of-the
σωματικοῦ θανάτου πρὸς τὸν ψυχικόν ἐστι θάνατον·
bodily death toward the soul's is death
ὥσπερ γὰρ ἐν σαρκὶ τὸ τῆς αἰσθητῆς χωρισθῆναι ζωῆς
as for in flesh the of-the sensible to-be-separated life
προσαγορεύομεν θάνατον, οὕτως καὶ ἐπὶ τῆς ψυχῆς
we-call death so also in-the-case-of the soul
τὸν τῆς ἀληθοῦς ζωῆς χωρισμὸν θάνατον ὀνομάζομεν·
the of-the true life separation death we-name
ἐπεὶ οὖν μία τίς ἐστιν ἡ τοῦ κακοῦ κοινωνία, καθὼς
since then one some is the of-the evil communion as
προείρηται, ἐν ψυχῇ τε θεωρουμένη καὶ σώματι· δι᾽
has-been-said-before in soul both being-contemplated and body through
ἀμφοτέρων γὰρ πρόεισιν τὸ πονηρὸν εἰς ἐνέργειαν· διὰ
both for proceeds the wicked into activity because-of

τοῦτο ὁ μὲν τῆς διαλύσεως θάνατος ἐκ τῆς τῶν νεκρῶν
this the indeed of-the dissolution death from the of-the dead
δερμάτων ἐπιβολῆς τῆς ψυχῆς οὐχ ἅπτεται.
skins putting-on the soul not touches
πῶς γὰρ ἂν διαλυθείη τὸ μὴ συγκείμενον; ἐπεὶ δὲ
how for — would-be-dissolved the not composite since but
χρεία τοῦ κἀκείνης τὰς ἐμφυείσας ἐξ ἁμαρτιῶν κηλῖδας
need of-the that-also the implanted from sins stains
διά τινος ἰατρείας ἐξαιρεθῆναι, τούτου ἕνεκεν ἐν
through some healing to-be-removed for-this for-the-sake in
μὲν τῇ παρούσῃ ζωῇ τὸ τῆς ἀρετῆς φάρμακον εἰς
indeed the present life the of-the virtue drug for
θεραπείαν τῶν τοιούτων προσετέθη τραυμάτων. εἰ δὲ
healing of-the such was-applied wounds if but
ἀθεράπευτος μένοι, ἐν τῷ μετὰ ταῦτα βίῳ τεταμίευται
unhealed it-remain in the after these-things life is-stored-up
ἡ θεραπεία. ἀλλ᾽ ὥσπερ εἰσί τινες κατὰ τὸ σῶμα τῶν
the healing but as are some according-to the body of-the
παθημάτων διαφοραί, ὧν αἱ μὲν ῥᾷον, αἱ δὲ
sufferings differences of-which the(-ones) indeed more-easily the(-ones) but
δυσκολώτερον τὴν θεραπείαν προσίενται, ἐφ᾽ ὧν καὶ τομαὶ
more-difficultly the healing admit in which both incisions
καὶ καυτήρια καὶ πικραὶ φαρμακοποσίαι πρὸς τὴν ἀναίρεσιν
and cauteries and bitter drug-drinkings for the removal
τοῦ ἐνσκήψαντος τῷ σώματι πάθους παραλαμβάνονται,
of-the having-fallen-upon the body suffering are-taken-up
τοιοῦτόν τι καὶ ἡ μετὰ ταῦτα κρίσις εἰς θεραπείαν
such something also the after these-things judgment for healing
τῶν τῆς ψυχῆς ἀρρωστημάτων κατεπαγγέλλεται, ὃ
of-the of-the soul sicknesses announces which
τοῖς μὲν χαυνοτέροις ἀπειλὴ καὶ σκυθρωπῶν ἐστὶν
to-the indeed more-careless threat and of-gloomy-things is

ἐπανόρθωσις, ὡς ἂν φόβῳ τῆς τῶν ἀλγεινῶν ἀντιδόσεως
correction that — by-fear of-the of-the painful-things requital
πρὸς τὴν φυγὴν τῆς κακίας σωφρονισθείημεν· τοῖς δὲ
to the flight of-the vice we-may-be-brought-to-sobriety to-the but
συνετωτέροις ἰατρεία καὶ θεραπεία παρὰ τοῦ θεοῦ τὸ
more-intelligent healing and treatment from — god the
ἴδιον πλάσμα πρὸς τὴν ἐξ ἀρχῆς ἐπανάγοντος χάριν
own molding to the from beginning bringing-back grace
εἶναι πιστεύεται. ὡς γὰρ οἱ τοὺς ἥλους τε καὶ τὰς
to-be is-believed as for the(-ones) the corns both and the
ἀκροχορδόνας παρὰ φύσιν ἐπιγενομένας τῷ σώματι διὰ
warts beyond nature having-grown-on the body through
τομῆς ἢ καύσεως ἀποξύοντες οὐκ ἀνώδυνον ἐπάγουσι
incision or burning scraping-off not painless bring
τῷ εὐεργετουμένῳ τὴν ἴασιν, πλὴν οὐκ ἐπὶ βλάβῃ
to-the(-one) being-benefited the cure but not for harm
τοῦ ὑπομένοντος τὴν τομὴν ἄγουσιν, οὕτως καὶ ὅσα
of-the(-one) enduring the incision they-bring so also as-many-as
ταῖς ψυχαῖς ἡμῶν διὰ τῆς τῶν παθημάτων κοινωνίας
on-the souls our through the of-the sufferings communion
ἀποσαρκωθείσαις ὑλώδη περιττώματα ἐπιπωροῦται, ἐν
having-been-made-fleshly material superfluities harden in
τῷ καιρῷ τῆς κρίσεως τέμνεταί τε καὶ ἀποξύεται τῇ
the time of-the judgment is-cut both and is-scraped-off by-the
ἀρρήτῳ ἐκείνῃ σοφίᾳ καὶ δυνάμει τοῦ, καθὼς λέγει
unspeakable that wisdom and power of-the(-one) as says
τὸ εὐαγγέλιον, τοὺς κακοὺς ἰατρεύοντος. οὐ χρείαν γὰρ
the gospel the evil healing not need for
ἔχουσι, φησίν, οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ
have he-says the(-ones) being-healthy of-physician but the(-ones)
κακῶς ἔχοντες. διὰ δὲ τὸ πολλὴν γεγενῆσθαι τῇ
badly faring because-of but the much to-have-come-to-be for-the

ψυχῇ πρὸς τὸ κακὸν συμφυίαν ὥσπερ ἡ τῆς μυρμηκίας
soul toward the evil natural-union as the of-the wart
τομὴ δριμύσσει τὴν ἐπιφάνειαν· τὸ γὰρ παρὰ φύσιν
incision stings the surface the for beyond nature
ἐμφυὲν τῇ φύσει διά τινος συμπαθείας τῷ ὑποκειμένῳ
implanted in-the nature through some sympathy to-the subject
προσίσχεται, καί τις γίνεται τοῦ ἀλλοτρίου πρὸς τὸ
clings and some becomes of-the foreign to the
ἡμέτερον παράλογος συνανάκρασις, ὡς λυπεῖσθαι καὶ
ours irrational commingling so-that to-be-grieved and
δάκνεσθαι τοῦ παρὰ φύσιν χωριζομένην τὴν αἴσθησιν·
to-be-bitten from-the beyond nature being-separated the sensation
οὕτω καὶ τῆς ψυχῆς ἀπολεπτυνομένης τε καὶ ἐκτηκομένης
so also the soul being-wasted both and being-melted
ἐν τοῖς ὑπὲρ τῆς ἁμαρτίας ἐλεγμοῖς, καθώς πού φησιν ἡ
in the for the sin reproofs as somewhere says the
προφητεία, διὰ τὴν ἐν βάθει γενομένην πρὸς τὸ κακὸν
prophecy because-of the in depth having-come-to-be toward the evil
οἰκειότητα κατ᾽ ἀνάγκην ἐπακολουθοῦσιν ἄρρητοί τινες καὶ
familiarity of necessity follow unspeakable some and
ἀνέκφραστοι ἀλγηδόνες, ὧν ἡ διήγησις ἐκ τοῦ ἴσου
inexpressible pains of-which the narration from the equal
τὸ ἄφραστον ἔχει τῇ τῶν ἐλπιζομένων ἀγαθῶν φύσει.
the unutterable has with-the of-the hoped-for good-things nature
οὔτε γὰρ ταῦτα, οὔτε ἐκεῖνα τῇ δυνάμει τῶν λόγων
neither for these-things nor those to-the power of-the words
ἢ τῷ στοχασμῷ τῆς διανοίας ὑπάγεται. οὐκοῦν πρὸς
or to-the conjecture of-the understanding are-subjected therefore to
τὸ πέρας τις ἀποσκοπῶν τῆς σοφίας τοῦ τὸ πᾶν
the end anyone looking of-the wisdom of-the(-one) the whole
οἰκονομοῦντος οὐκέτ᾽ ἂν εὐλόγως κακῶν αἴτιον τὸν τῶν
administering no-longer — reasonably of-evils cause the of-the

ἀνθρώπων δημιουργὸν ὑπὸ μικροψυχίας κατονομάζοι, ἢ
men creator from pettiness-of-soul would-name either
ἀγνοεῖν αὐτὸν τὸ ἐσόμενον λέγων, ἢ εἰδότα καὶ
to-be-ignorant him the(-thing) going-to-be saying or knowing and
πεποιηκότα μὴ ἔξω τῆς πρὸς τὸ πονηρὸν ὁρμῆς εἶναι.
having-made not outside the toward the wicked impulse to-be
καὶ γὰρ ἤδει τὸ ἐσόμενον καὶ τὴν πρὸς τὸ
and for he-knew the(-thing) going-to-be and the toward the(-thing)
γινόμενον ὁρμὴν οὐκ ἐκώλυσεν· ὅτι γὰρ ἐκτραπήσεται
happening impulse not he-hindered that for will-be-turned-aside
τοῦ ἀγαθοῦ τὸ ἀνθρώπινον, οὐκ ἠγνόησεν ὁ πάντα
from-the good the human not was-ignorant the(-one) all-things
ἐμπερικρατῶν τῇ γνωστικῇ δυνάμει καὶ τὸ ἐφεξῆς
comprehending by-the knowing power and the(-thing) following
τῷ παρῳχηκότι κατὰ τὸ ἴσον βλέπων. ἀλλ' ὥσπερ
with-the past according-to the equal seeing but as
τὴν παρατροπὴν ἐθεάσατο, οὕτω καὶ τὴν ἀνάκλησιν
the deviation he-beheld so also the recall
αὐτοῦ πάλιν τὴν πρὸς τὸ ἀγαθὸν κατενόησε. τί οὖν
his again the(-recall) toward the good he-perceived what then
ἄμεινον ἦν, καθ' ὅλου μὴ ἀγαγεῖν τὴν φύσιν ἡμῶν εἰς
better was on whole not to-bring the nature our into
γένεσιν, ἐπειδὴ τοῦ καλοῦ διαμαρτήσεσθαι προεώρα τὸν
coming-to-be since the beautiful going-to-miss he-foresaw the(-one)
γενησόμενον, ἢ ἀγαγόντα καὶ νενοσηκότα πάλιν πρὸς
going-to-be than having-brought and having-fallen-sick again to
τὴν ἐξ ἀρχῆς χάριν διὰ μετανοίας ἀνακαλέσασθαι; τὸ
the from beginning grace through repentance to-call-back the
δὲ διὰ τὰς σωματικὰς ἀλγηδόνας, αἳ τῷ ῥευστῷ τῆς
but because-of the bodily pains which to-the fluidity of-the
φύσεως κατ' ἀνάγκην ἐπισυμβαίνουσι, κακῶν ποιητὴν τὸν
nature of necessity supervene of-evils maker —

θεὸν ὀνομάζειν, ἢ μηδὲ ὅλως ἀνθρώπου κτίστην αὐτὸν
god to-name or not-even at-all of-man creator him
οἴεσθαι, ὡς ἂν μὴ καὶ τῶν ἀλγυνόντων ἡμᾶς αἴτιος
to-think that — not also of-the(-things) paining us cause
ὑπονοοῖτο, τοῦτο τῆς ἐσχάτης μικροψυχίας ἐστὶ τῶν
he-may-be-suspected this of-the last pettiness-of-soul is of-the(-ones)
τῇ αἰσθήσει τὸ καλὸν καὶ τὸ κακὸν διακρινόντων, οἳ οὐκ
by-the sense the beautiful and the evil distinguishing who not
ἴσασιν ὅτι ἐκεῖνο τῇ φύσει μόνον ἐστὶν ἀγαθόν, οὗ ἡ
know that that by-the nature alone is good of-which the
αἴσθησις οὐκ ἐφάπτεται, καὶ μόνον ἐκεῖνο κακὸν ἡ τοῦ
sense not touches and alone that evil the of-the
ἀληθινοῦ ἀγαθοῦ ἀλλοτρίωσις. πόνοις δὲ καὶ ἡδοναῖς τὸ
true good estrangement by-toils but and by-pleasures the
καλὸν καὶ τὸ μὴ καλὸν κρίνειν τῆς ἀλόγου φύσεως ἴδιόν
beautiful and the not beautiful to-judge of-the irrational nature property
ἐστιν, ἐφ᾽ ὧν τοῦ ἀληθῶς καλοῦ ἡ κατανόησις διὰ
is in which of-the truly beautiful the understanding because-of
τὸ μὴ μετέχειν αὐτὰ νοῦ καὶ διανοίας χώραν οὐκ ἔχει.
the not to-partake them of-mind and understanding place not has
ἀλλ᾽ ὅτι μὲν θεοῦ ἔργον ὁ ἄνθρωπος, καλόν τε καὶ ἐπὶ
but that indeed of-god work the man beautiful both and for
καλλίστοις γενόμενον, οὐ μόνον ἐκ τῶν εἰρημένων
most-beautiful-things having-come-to-be not only from the(-things) said
δῆλόν ἐστιν, ἀλλὰ καὶ ἐκ μυρίων ἑτέρων, ὧν τὸ
clear is but also from countless others of-which the
πλῆθος διὰ τὴν ἀμετρίαν παραδραμούμεθα. θεὸν δὲ
multitude because-of the measurelessness we-shall-pass-by god but
ἀνθρώπου ποιητὴν ὀνομάσαντες οὐκ ἐπιλελήσμεθα τῶν
of-man maker having-named not we-have-forgotten the(-things)
ἐν τῷ προοιμίῳ πρὸς τοὺς Ἕλληνας ἡμῖν διευκρινηθέντων,
in the proem toward the Greeks by-us clarified

ἐν οἷς ἀπεδείκνυτο ὁ τοῦ θεοῦ λόγος οὐσιώδης τις καὶ
in which was-shown the — of-god word substantial some and
ἐνυπόστατος ὢν αὐτὸς εἶναι καὶ θεὸς καὶ λόγος, πᾶσαν
hypostatic being himself to-be both god and word all
δύναμιν ποιητικὴν ἐμπεριειληφώς, μᾶλλον δὲ αὐτοδύναμις
power creative having-comprised rather but self-power
ὢν καὶ πρὸς πᾶν ἀγαθὸν τὴν ὁρμὴν ἔχων καὶ πᾶν ὅ τι
being and toward every good the impulse having and all what ever
περ ἂν θελήσῃ κατεργαζόμενος τῷ σύνδρομον ἔχειν τῇ
indeed — be-may-will accomplishing by-the concurrent to-have with-the
βουλήσει τὴν δύναμιν, οὗ καὶ θέλημα καὶ ἔργον ἐστὶν
will the power of-whom both will and work is
ἡ τῶν ὄντων ζωή, παρ᾽ οὗ καὶ ὁ ἄνθρωπος εἰς τὸ ζῆν
the of-the beings life by whom also the man into the to-live
παρήχθη, πᾶσι τοῖς καλλίστοις θεοειδῶς κεκοσμημένος.
was-brought with-all the most-beautiful-things godlikely adorned
ἐπειδὴ δὲ μόνον ἀναλλοίωτόν ἐστι κατὰ τὴν φύσιν
since but alone unalterable is according-to the nature
τὸ μὴ διὰ κτίσεως ἔχον τὴν γένεσιν, τὰ
the(-thing) not through creation having the coming-to-be the(-things)
δ᾽ ὅσα παρὰ τῆς ἀκτίστου φύσεως ἐκ τοῦ μὴ
but as-many-as by the uncreated nature from the not
ὄντος ὑπέστη, εὐθὺς ἀπὸ τροπῆς τοῦ εἶναι ἀρξάμενα,
being subsisted at-once from change the to-be having-begun
πάντοτε δι᾽ ἀλλοιώσεως πρόεισιν, εἰ μὲν κατὰ φύσιν
always through alteration proceed if indeed according-to nature
πράττοι, πρὸς τὸ κρεῖττον αὐτοῖς τῆς ἀλλοιώσεως εἰς
it-should-act toward the better for-them of-the alteration for
ἀεὶ γιγνομένης, εἰ δὲ παρατραπείη τῆς εὐθείας, τῆς
always becoming if but it-should-be-turned-aside from-the straight of-the
πρὸς τὸ ἐναντίον αὐτὰ διαδεχομένης κινήσεως· ἐπεὶ οὖν
toward the opposite them succeeding movement since then

ἐν τούτοις καὶ ὁ ἄνθρωπος ἦν, ᾧ τὸ τρεπτὸν
among these also the man was in-whom the changeable
τῆς φύσεως πρὸς τὸ ἐναντίον παρώλισθεν, ἅπαξ δὲ τῆς
of-the nature toward the opposite slipped once and the
τῶν ἀγαθῶν ἀναχωρήσεως δι᾽ ἀκολούθου πᾶσαν ἰδέαν
of-the good-things withdrawal through consequence every form
κακῶν ἀντεισαγούσης, ὡς τῇ μὲν ἀποστροφῇ τῆς ζωῆς
of-evils bringing-in-instead so-that to-the indeed turning-away of-the life
ἀντεισαχθῆναι τὸν θάνατον, τῇ δὲ στερήσει τοῦ φωτὸς
to-be-brought-in-instead the death to-the but privation of-the light
ἐπιγενέσθαι τὸ σκότος, τῇ δὲ τῆς ἀρετῆς ἀπουσίᾳ τὴν
to-supervene the darkness to-the but of-the virtue absence the
κακίαν ἀντεισαχθῆναι καὶ πάσῃ τῇ τῶν ἀγαθῶν ἰδέᾳ τὸν
vice to-be-brought-in-instead and to-every the of-the good-things form the
τῶν ἐναντίων ἀνταριθμηθῆναι κατάλογον, τὸν ἐν τούτοις
of-the opposites to-be-counted-against list the(-one) in these
καὶ τοῖς τοιούτοις ἐξ ἀβουλίας ἐμπεπτωκότα· οὐδὲ γὰρ
and the such-things from ill-counsel having-fallen-in nor for
ἦν δυνατὸν ἐν φρονήσει εἶναι τὸν ἀπεστραμμένον
was-it possible in prudence to-be the(-one) having-turned-from
τὴν φρόνησιν καὶ σοφόν τι βουλεύσασθαι τὸν τῆς
the prudence and wise anything to-counsel the(-one) from-the
σοφίας ἀναχωρήσαντα· διὰ τίνος ἔδει πάλιν πρὸς
wisdom having-withdrawn through whom was-it-needful again to
τὴν ἐξ ἀρχῆς χάριν ἀνακληθῆναι; τίνι διέφερεν ἡ τοῦ
the from beginning grace to-be-recalled to-whom belonged the of-the(-one)
πεπτωκότος ἀνόρθωσις, ἡ τοῦ ἀπολωλότος ἀνάκλησις,
having-fallen raising the of-the(-one) having-been-lost recall
ἡ τοῦ πεπλανημένου χειραγωγία; τίνι ἄλλῳ ἢ
the of-the(-one) having-wandered leading-by-the-hand to-whom other than
τῷ κυρίῳ πάντως τῆς φύσεως; τῷ γὰρ ἐξ ἀρχῆς
to-the lord altogether of-the nature to-the(-one) for from beginning

τὴν ζωὴν δεδωκότι μόνῳ δυνατὸν ἦν καὶ πρέπον ἅμα
the life having-given alone possible it-was and fitting together
καὶ ἀπολομένην ἀνακαλέσασθαι. ὃ παρὰ τοῦ μυστηρίου
also having-perished to-call-back which from the mystery
τῆς ἀληθείας ἀκούομεν, θεὸν πεποιηκέναι κατ᾽ ἀρχὰς τὸν
of-the truth we-hear god to-have-made at beginnings the
ἄνθρωπον καὶ σεσωκέναι διαπεπτωκότα μανθάνοντες.
man and to-have-saved having-fallen-away learning

9–15 · GOD IN THE FLESH

Nothing shameful attaches to God's coming in the flesh, for only vice is shameful. The infinite is not shut in a small body: even the soul ranges over creation unconfined, and flame clings to its fuel without being enclosed; how God joins man we know no more than how soul joins body. His works prove God was present, and his virgin birth and rising are beyond nature. He came because our nature was sick and needed a physician, fallen and needed raising, dead and needed life. Only vice opposes virtue, and our nature is not vice.

9 Ἀλλὰ μέχρι μὲν τούτων συνθήσεται τυχὸν τῷ λόγῳ
but as-far-as indeed these-things will-agree perhaps with-the word
ὁ πρὸς τὸ ἀκόλουθον βλέπων διὰ τὸ μὴ δοκεῖν
the(-one) to the consequence looking because-of the not to-seem
ἔξω τι τῆς θεοπρεποῦς ἐννοίας τῶν εἰρημένων
outside anything of-the god-befitting notion of-the(-things) said
εἶναι· πρὸς δὲ τὰ ἐφεξῆς οὐχ ὁμοίως ἕξει, δι᾽
to-be toward but the(-things) next not likewise he-will-be through
ὧν μάλιστα τὸ μυστήριον τῆς ἀληθείας κρατύνεται·
which most the mystery of-the truth is-strengthened
γένεσις ἀνθρωπίνη καὶ ἡ ἐκ νηπίου πρὸς τελείωσιν
coming-to-be human and the from infancy to perfection

αὔξησις, βρῶσίς τε καὶ πόσις, καὶ κόπος, καὶ ὕπνος, καὶ
growth eating both and drinking and toil and sleep and
λύπη, καὶ δάκρυον, συκοφαντία τε καὶ δικαστήριον, καὶ
grief and tear false-accusation both and court and
σταυρός, καὶ θάνατος, καὶ ἡ ἐν μνημείῳ θέσις· ταῦτα
cross and death and the in tomb placing these-things
γὰρ συμπαραλαμβανόμενα τῷ μυστηρίῳ ἀμβλύνει πως
for taken-along with-the mystery blunt somehow
τῶν μικροψυχοτέρων τὴν πίστιν, ὡς μηδὲ τὸ
of-the more-petty-souled the faith so-that not-even the(-thing)
ἐφεξῆς τῶν λεγομένων διὰ τὰ προειρημένα
following of-the(-things) said because-of the(-things) previously-said
συμπαραδέχεσθαι. τὸ γὰρ θεοπρεπὲς τῆς ἐκ νεκρῶν
to-accept-with the for god-befitting of-the from dead
ἀναστάσεως διὰ τὸ περὶ τὸν θάνατον ἀπρεπὲς οὐ
resurrection because-of the about the death unbecoming not
προσίενται. ἐγὼ δὲ πρότερον οἶμαι δεῖν μικρὸν τῆς
they-admit I but first think it-is-needful little from-the
σαρκικῆς παχύτητος τὸν λογισμὸν ἀποστήσαντας, αὐτὸ τὸ
fleshly thickness the reasoning having-withdrawn itself the
καλὸν ἐφ᾽ ἑαυτοῦ καὶ τὸ μὴ τοιοῦτον κατανοῆσαι, ποίοις
beautiful by itself and the not such to-perceive by-what-kind-of
γνωρίσμασιν ἑκάτερον τούτων καταλαμβάνεται. οὐδένα
marks each of-these is-grasped no-one
γὰρ ἀντερεῖν οἶμαι τῶν λελογισμένων, ὅτι ἓν κατὰ
for to-gainsay I-think of-the(-ones) having-reasoned that one according-to
φύσιν μόνον τῶν πάντων ἐστὶν αἰσχρὸν τὸ κατὰ κακίαν
nature alone of-the all-things is shameful the according-to vice
πάθος, τὸ δὲ κακίας ἐκτὸς παντὸς ἄϊσχους ἐστὶν ἀλλότριον·
passion the but of-vice outside of-all shame is foreign
ᾧ δὲ μηδὲν αἰσχρὸν καταμέμικται, τοῦτο πάντως ἐν
with-which but nothing shameful is-mixed this altogether in

τῇ τοῦ καλοῦ μοίρᾳ καταλαμβάνεται, τὸ δὲ ἀληθῶς καλὸν
the of-the beautiful portion is-grasped the but truly beautiful
ἀμιγές ἐστι τοῦ ἐναντίου. πρέπει δὲ θεῷ πᾶν ὅ τι περ
unmixed is with-the opposite befits but to-god all what ever indeed
ἐν τῇ τοῦ καλοῦ θεωρεῖται χώρᾳ. ἢ τοίνυν δειξάτωσαν
in the of-the beautiful is-contemplated region either therefore let-them-show
κακίαν εἶναι τὴν γέννησιν, τὴν ἀνατροφήν, τὴν αὔξησιν,
vice to-be the birth the nurture the growth
τὴν πρὸς τὸ τέλειον τῆς φύσεως πρόοδον, τὴν τοῦ
the toward the perfect of-the nature progress the of-the
θανάτου πεῖραν, τὴν ἐκ τοῦ θανάτου ἐπάνοδον· ἢ εἰ ἔξω
death trial the from the death return or if outside
κακίας εἶναι τὰ εἰρημένα συντίθενται, οὐδὲν αἰσχρὸν
vice to-be the(-things) said they-agree nothing shameful
εἶναι τὸ κακίας ἀλλότριον ἐξ ἀνάγκης ὁμολογήσουσι. καλοῦ
to-be the of-vice foreign of necessity they-will-confess beautiful
δὲ πάντως ἀναδεικνυμένου τοῦ πάσης αἰσχρότητος
but altogether being-shown the(-thing) from-all shamefulness
καὶ κακίας ἀπηλλαγμένου, πῶς οὐκ ἐλεεινοὶ τῆς ἀλογίας
and vice freed how not pitiable for-the unreason
οἱ τὸ καλὸν μὴ πρέπειν ἐπὶ θεοῦ δογματίζοντες;
the(-ones) the beautiful not to-befit in-the-case-of god teaching
10 Ἀλλὰ μικρόν, φησί, καὶ εὐπερίγραπτον ἡ ἀνθρωπίνη
but small he-says and easily-circumscribed the human
φύσις, ἄπειρον δὲ ἡ θεότης, καὶ πῶς ἂν περιελήφθη
nature infinite but the godhead and how — would-have-been-contained
τῷ ἀτόμῳ τὸ ἄπειρον; καὶ τίς τοῦτό φησιν, ὅτι τῇ
by-the atom the infinite and who this says that by-the
περιγραφῇ τῆς σαρκὸς καθάπερ ἀγγείῳ τινὶ ἡ ἀπειρία τῆς
circumscription of-the flesh as by-vessel some the infinity of-the
θεότητος περιελήφθη; οὐδὲ γὰρ ἐπὶ τῆς ἡμετέρας
godhead was-contained not-even for in-the-case-of the our

ζωῆς ἐντὸς κατακλείεται τῶν τῆς σαρκὸς ὅρων ἡ νοερὰ
life within is-shut-up the of-the flesh bounds the intellectual
φύσις. ἀλλ᾽ ὁ μὲν ὄγκος τοῦ σώματος τοῖς οἰκείοις μέρεσι
nature but the indeed bulk of-the body by-the own parts
περιγράφεται, ἡ δὲ ψυχὴ τοῖς τῆς διανοίας κινήμασι πάσῃ
is-circumscribed the but soul by-the of-the understanding movements over-all
κατ᾽ ἐξουσίαν ἐφαπλοῦται τῇ κτίσει, καὶ μέχρις οὐρανῶν
according-to authority is-spread-out the creation and as-far-as heavens
ἀνιοῦσα, καὶ τῶν ἀβύσσων ἐπιβατεύουσα, καὶ τῷ πλάτει
going-up and the abysses treading and to-the breadth
τῆς οἰκουμένης ἐπερχομένη, καὶ πρὸς τὰ καταχθόνια
of-the inhabited-world going-over and to the(-things) under-the-earth
διὰ τῆς πολυπραγμοσύνης εἰσδύνουσα, πολλάκις δὲ καὶ
through the busy-curiosity sinking-in often and also
τῶν οὐρανίων θαυμάτων ἐν περινοίᾳ γίνεται, οὐδὲν
of-the heavenly wonders in comprehension becomes in-no-way
βαρυνομένη τῷ ἐφολκίῳ τοῦ σώματος. εἰ δὲ ἀνθρώπου
being-weighed-down by-the encumbrance of-the body if but of-man
ψυχὴ κατὰ τὴν τῆς φύσεως ἀνάγκην συγκεκραμένη τῷ
soul according-to the of-the nature necessity blended with-the
ἐστιν εἰς ἕτερον ἀπὸ τοῦ ἐν ᾧ ἐστὶν εἰς ἀεὶ προιοῦσα·
is into other from the(-state) in which it-is for always proceeding
δύο δὲ τῆς τοιαύτης εἴδη κινήσεως· τὸ μὲν πρὸς τὸ
two but of-the such forms of-movement the(-one) indeed toward the
ἀγαθὸν ἀεὶ γιγνόμενον, ἐν ᾧ ἡ πρόοδος στάσιν οὐκ ἔχει,
good always becoming in which the progress stop not has
διότι πέρας οὐδὲν τοῦ διεξοδευομένου καταλαμβάνεται·
because end none of-the(-way) traversed is-grasped
τὸ δὲ πρὸς τὸ ἐναντίον, οὗ ἡ ὑπόστασις ἐν τῷ μὴ
the(-other) but toward the opposite of-which the hypostasis in the not
ὑφεστάναι ἐστίν· ἡ γὰρ τοῦ ἀγαθοῦ ἐναντίωσις, καθὼς
to-subsist is the for of-the good opposition as
ἐν τοῖς ἔμπροσθεν εἴρηται, τοιοῦτόν τινα νοῦν κατὰ
in the(-things) before has-been-said such some sense according-to
τὴν ἀντιδιαστολὴν ἔχει, καθάπερ φαμὲν τῷ μὴ ὄντι τὸ
the contradistinction has as we-say to-the not being the

ὂν ἀντιδιαιρεῖσθαι καὶ τῇ ἀνυπαρξίᾳ τὴν ὕπαρξιν· ἐπειδὴ
being to-be-set-against and to-the nonexistence the existence since
τοίνυν κατὰ τὴν τρεπτήν τε καὶ ἀλλοιώτην ὁρμήν τε
therefore according-to the changeable both and alterable impulse both
καὶ κίνησιν οὐκ ἐνδέχεται τὴν φύσιν ἐφ' ἑαυτῆς μένειν
and movement not it-is-possible the nature by itself to-remain
ἀκίνητον, ἀλλ' ἐπί τι πάντως ἡ προαίρεσις ἴεται,
unmoved but toward something altogether the choice presses
τῆς πρὸς τὸ καλὸν ἐπιθυμίας αὐτὴν φυσικῶς ἐφελκομένης
the toward the beautiful desire it naturally drawing
εἰς κίνησιν· καλὸν δὲ τὸ μέν τι ἀληθῶς κατὰ
into movement beautiful but the(-thing) indeed some truly according-to
τὴν φύσιν ἐστί, τὸ δὲ οὐ τοιοῦτον, ἀλλ' ἐπηνθισμένον
the nature is the(-thing) but not such but embellished
τινὶ καλοῦ φαντασίᾳ· κριτήριον δὲ τούτων ἐστὶν ὁ
with-some of-beautiful appearance criterion but of-these is the
νοῦς, ἔνδοθεν ἡμῖν ἐνιδρυμένος, ἐν ᾧ κινδυνεύεται ἢ τὸ
mind within to-us seated in which is-risked either the
ἐπιτυχεῖν τοῦ ὄντως καλοῦ, ἢ τὸ παρατραπέντας αὐτοῦ
to-attain the truly beautiful or the having-been-turned-aside from-it
διά τινος τῆς κατὰ τὸ φαινόμενον ἀπάτης ἐπὶ τὸ
through some of-the according-to the appearance deceit to the
ἐναντίον ἡμᾶς ἀπορρυῆναι, οἷόν τι παθεῖν ὁ ἔξωθεν
opposite us to-flow-away such-as something to-suffer the outside
μῦθός φησιν ἀπιδοῦσαν ἐν τῷ ὕδατι τὴν κύνα πρὸς τὴν
fable says having-looked in the water the dog toward the
σκιὰν οὗ διὰ στόματος ἔφερε, μεθεῖναι μὲν τὴν
shadow of-what in mouth she-was-carrying to-let-go indeed the
ἀληθῆ τροφήν, περιχανοῦσαν δὲ τὸ τῆς τροφῆς εἴδωλον
true food having-gaped-at but the of-the food image
ἐν λιμῷ γενέσθαι· ἐπεὶ οὖν τῆς πρὸς τὸ ὄντως ἀγαθὸν
in famine to-become since then from-the toward the truly good

ἐπιθυμίας διαψευσθεὶς ὁ νοῦς πρὸς τὸ μὴ ὂν παρηνέχθη,
desire having-been-deceived the mind to the not being was-carried-aside
δι᾽ ἀπάτης τοῦ τῆς κακίας συμβούλου τε καὶ εὑρετοῦ
through deceit of-the of-the vice counselor both and inventor
καλὸν ἀναπεισθεὶς εἶναι τὸ τῷ καλῷ ἐναντίον·
beautiful having-been-persuaded to-be the(-thing) to-the beautiful opposite
οὐ γὰρ ἂν ἐνήργησεν ἡ ἀπάτη, μὴ δελέατος δίκην
not for — would-have-worked the deceit not of-bait in-manner
τῷ τῆς κακίας ἀγκίστρῳ τῆς τοῦ καλοῦ φαντασίας
to-the of-the vice hook the of-the beautiful appearance
περιπλασθείσης· ἐν ταύτῃ τοίνυν γεγονότος ἑκουσίως τῇ
having-been-molded-round in this therefore having-come-to-be willingly the
συμφορᾷ τοῦ ἀνθρώπου τοῦ ἑαυτὸν δι᾽ ἡδονῆς τῷ
misfortune the man the(-one) himself through pleasure to-the
ἐχθρῷ τῆς ζωῆς ὑποζεύξαντος, πάντα μοι κατὰ ταὐτὸν
enemy of-the life having-yoked all-things for-me in the-same
ἀναζήτει τὰ ταῖς θείαις ὑπολήψεσι πρέποντα, τὸ
seek the(-things) with-the divine suppositions fitting the
ἀγαθόν, τὸ σοφόν, τὸ δίκαιον, τὸ δυνατόν, τὸ ἄφθαρτον
good the wise the just the powerful the incorruptible
καὶ εἴ τι τῆς τοῦ κρείττονος σημασίας ἐστίν. οὐκοῦν
and if anything of-the of-the better signification is therefore
ὡς ἀγαθὸς οἰκτον λαμβάνει τοῦ διαπεπτωκότος, ὡς
as good pity he-takes of-the(-one) having-fallen as
σοφὸς οὐκ ἀγνοεῖ τὸν τρόπον τῆς ἀνακλήσεως. σοφίας
wise not is-ignorant-of the manner of-the recall of-wisdom
δ᾽ ἂν εἴη καὶ ἡ τοῦ δικαίου κρίσις· οὐ γὰρ ἄν τις
but — would-be also the of-the just judgment not for — anyone
ἀφροσύνῃ τὴν ἀληθῆ δικαιοσύνην προσάψειεν.
to-folly the true justice would-attach

22 Τί οὖν ἐν τούτοις τὸ δίκαιον; τὸ μὴ τυραννικῇ τινὶ
what then in these the just the not with-tyrannical some
χρήσασθαι κατὰ τοῦ κατέχοντος ἡμᾶς αὐθεντίᾳ, μηδὲ τῷ
to-use against the(-one) holding us authority nor by-the
περιόντι τῆς δυνάμεως ἀποσπάσαντα τοῦ κρατοῦντος
surplus of-the power having-torn-away from-the(-one) ruling
καταλιπεῖν τινὰ δικαιολογίας ἀφορμὴν τῷ δι' ἡδονῆς
to-leave some of-plea occasion to-the(-one) through pleasure
καταδουλωσαμένῳ τὸν ἄνθρωπον. καθάπερ γὰρ οἱ
having-enslaved the man as for the(-ones)
χρημάτων τὴν ἑαυτῶν ἐλευθερίαν ἀποδόμενοι δοῦλοι τῶν
for-money the their-own freedom having-sold slaves of-the(-ones)
ὠνησαμένων εἰσίν, αὐτοὶ πρατῆρες ἑαυτῶν καταστάντες,
having-bought are themselves sellers of-themselves having-become
καὶ οὔτε αὐτοῖς οὔτε ἄλλῳ τινὶ ὑπὲρ ἐκείνων ἔξεστι
and neither for-themselves nor for-other anyone on-behalf-of them is-it-permitted
τὴν ἐλευθερίαν ἐπιβοήσασθαι, κἂν εὐπατρίδαι τινὲς ὦσιν
the freedom to-cry-out-for even-if well-born some be
οἱ πρὸς τὴν συμφορὰν ταύτην αὐτομολήσαντες· εἰ
the(-ones) to the misfortune this having-deserted if
δέ τις κηδόμενος τοῦ ἀπεμποληθέντος βίᾳ κατὰ
but anyone caring-for the(-one) sold force against
τοῦ ὠνησαμένου χρῷτο, ἄδικος εἶναι δόξει τὸν
the(-one) having-bought should-use unjust to-be he-will-seem the(-one)
νόμῳ κτηθέντα τυραννικῶς ἐξαιρούμενος· ἐξωνεῖσθαι δὲ
by-law acquired tyrannically taking-out to-buy-back but
πάλιν εἰ βούλοιτο τὸν τοιοῦτον, οὐδεὶς ὁ κωλύων νόμος
again if he-should-wish the such no the hindering law
ἐστί· κατὰ τὸν αὐτὸν τρόπον ἑκουσίως ἡμῶν ἑαυτοὺς
is according-to the same manner willingly we ourselves
ἀπεμποληθέντων ἔδει παρὰ τοῦ δι' ἀγαθότητα
having-sold it-was-needful by the(-one) through goodness

πάλιν ἡμᾶς εἰς ἐλευθερίαν ἐξαιρουμένου μὴ τὸν τυραννικόν,
again us into freedom taking-out not the tyrannical
ἀλλὰ τὸν δίκαιον τρόπον ἐπινοηθῆναι τῆς ἀνακλήσεως.
but the just manner to-be-devised of-the recall
οὗτος δέ ἐστί τις τὸ ἐπὶ τῷ κρατοῦντι ποιήσασθαι πᾶν
this but is some the on the(-one) ruling to-make all
ὅπερ ἂν ἐθέλοι λύτρον ἀντὶ τοῦ κατεχομένου λαβεῖν.
whatever — he-should-wish ransom instead-of the(-one) held to-receive
Τί τοίνυν εἰκὸς ἦν μᾶλλον τὸν κρατοῦντα λαβεῖν 23
what therefore likely was rather the(-one) ruling to-take
ἑλέσθαι; δυνατόν ἐστι δι᾽ ἀκολούθου στοχασμόν τινα τῆς
to-choose possible it-is through consequence conjecture some of-the
ἐπιθυμίας αὐτοῦ λαβεῖν, εἰ τὰ πρόδηλα γένοιτο ἡμῖν
desire his to-take if the manifest-things should-become for-us
τῶν ζητουμένων τεκμήρια. ὁ τοίνυν κατὰ τὸν ἐν
of-the(-things) sought evidences the(-one) therefore according-to the in
ἀρχῇ τοῦ συγγράμματος προαποδοθέντα λόγον τῷ πρὸς
beginning of-the treatise previously-rendered account by-the toward
τὸν εὐημεροῦντα φθόνῳ πρὸς μὲν τὸ ἀγαθὸν ἐπιμύσας,
the(-one) prospering envy toward indeed the good having-shut-eyes
τὸν δὲ τῆς κακίας ζόφον ἐν ἑαυτῷ γεννήσας, ἀρχὴν
the but of-the vice gloom in himself having-begotten beginning
δὲ τῆς πρὸς τὰ χείρω ῥοπῆς καὶ ὑπόθεσιν καὶ οἱονεὶ
and of-the toward the worse inclination and foundation and as-it-were
μητέρα τῆς λοιπῆς κακίας τὴν φιλαρχίαν νοσήσας,
mother of-the remaining vice the love-of-rule having-been-sick-with
τίνος ἂν ἀντηλλάξατο τὸν κατεχόμενον, εἰ μὴ δηλαδὴ
for-what — would-he-have-exchanged the(-one) held if not clearly
τοῦ ὑψηλοτέρου καὶ μείζονος ἀνταλλάγματος, ὡς ἂν
for-the higher and greater exchange that —
μᾶλλον ἑαυτοῦ τὸ κατὰ τὸν τῦφον θρέψειεν πάθος,
rather of-himself the according-to the conceit might-nourish passion

τὰ μείζω τῶν ἐλαττόνων διαμειβόμενος; ἀλλὰ μὴν ἐν
the greater-things for-the lesser exchanging but indeed in
τοῖς ἀπ᾽ αἰῶνος ἱστορουμένοις, ἐν οὐδενὶ συνεγνώκει
the(-things) from age recorded in none had-he-known
τοιοῦτον οὐδέν, οἷα καθεώρα περὶ τὸν τότε φαινόμενον,
such anything such-as he-saw about the(-one) then appearing
κυοφορίαν ἀσυνδύαστον, καὶ γέννησιν ἄφθορον, καὶ θήλην
conception without-coupling and birth incorrupt and nursing
ἐκ παρθενίας, καὶ ἄνωθεν ἐπιμαρτυρούσας τῷ ὑπερφυεῖ
from virginity and from-above testifying to-the transcendence
τῆς ἀξίας ἐκ τῶν ἀοράτων φωνάς, καὶ τῶν τῆς φύσεως
of-the worth from the invisible-things voices and of-the of-the nature
ἀρρωστημάτων διόρθωσιν ἀπραγμάτευτόν τινα καὶ ψιλήν, ἐν
sicknesses correction effortless some and bare in
ῥήματι μόνῳ καὶ ὁρμῇ τοῦ θελήματος παρ᾽ αὐτοῦ γινομένην,
word alone and impulse of-the will by him happening
τήν τε τῶν τεθνηκότων ἐπὶ τὸν βίον ἀνάλυσιν, καὶ τὴν
the both of-the(-ones) having-died to the life return and the
τῶν καταδίκων ἀνάρρυσιν, καὶ τὸν κατὰ τῶν δαιμόνων
of-the condemned rescue and the against the demons
φόβον, καὶ τῶν κατὰ τὸν ἀέρα παθῶν τὴν ἐξουσίαν, καὶ
fear and of-the in the air phenomena the authority and
τὴν διὰ θαλάσσης πορείαν, οὐ διαχωροῦντος ἐφ᾽ ἑκάτερα
the through sea journey not being-divided on each-side
τοῦ πελάγους, καὶ τὸν πυθμένα γυμνοῦντος τοῖς
the sea and the bottom laying-bare for-the(-ones)
παροδεύουσι κατὰ τὴν ἐπὶ Μωσέως θαυματουργίαν,
passing according-to the in-the-time-of Moses wonder-working
ἀλλ᾽ ἄνω τῆς ἐπιφανείας τοῦ ὕδατος ὑποχερσουμένης τῇ
but above the surface of-the water becoming-land for-the
βάσει, καὶ διά τινος ἀσφαλοῦς ἀντιτυπίας ὑπερειδούσης
step and through some secure resistance supporting

τὸ ἴχνος, τήν τε τῆς τροφῆς ὑπεροψίαν ἐφ' ὅσον
the footprint the both of-the food disregard for as-long-as
βούλοιτο, καὶ τὰς ἐν ἐρημίᾳ δαψιλεῖς ἑστιάσεις τῶν ἐν
he-wished and the in desert abundant feastings of-the(-ones) in
πολλαῖς χιλιάσιν εὐωχουμένων, οἷς οὔτε οὐρανὸς ἐπέρρει
many thousands feasting for-whom neither heaven poured
τὸ μάννα, οὔτε ἡ γῆ κατὰ τὴν ἰδίαν αὐτῆς φύσιν
the manna nor the earth according-to the own its nature
σιτοποιοῦσα τὴν χρείαν ἐπλήρου, ἀλλ' ἐκ τῶν ἀρρήτων
producing-grain the need filled but from the unspeakable
ταμείων τῆς θείας δυνάμεως ἡ φιλοτιμία προῄει, ἕτοιμος
storehouses of-the divine power the munificence proceeded ready
ἄρτος ταῖς χερσὶ τῶν διακονούντων ἐγγεωργούμενος
bread in-the hands of-the(-ones) serving being-cultivated
καὶ διὰ τοῦ κόρου τῶν ἐσθιόντων πλείων γιγνόμενος,
and through the satiety of-the(-ones) eating more becoming
ἥ τε διὰ τῶν ἰχθύων ὀψοφαγία, οὐ θαλάσσης αὐτοῖς
the and through the fishes relish not of-sea for-them
πρὸς τὴν χρείαν συνεισφερούσης, ἀλλὰ τοῦ καὶ τῇ
for the need contributing but of-the(-one) also in-the
θαλάσσῃ τὸ γένος τῶν ἰχθύων ἐγκατασπείραντος.
sea the race of-the fishes having-sown
καὶ πῶς ἄν τις τὸ καθ' ἕκαστον τῶν εὐαγγελικῶν
and how — anyone the(-things) by each of-the gospel
διεξίοι θαυμάτων; ταύτην τοίνυν τὴν δύναμιν καθορῶν,
would-go-through wonders this therefore the power seeing
ὁ ἐχθρὸς ἐν ἐκείνῳ πλεῖον τοῦ κατεχομένου τὸ
the enemy in that more than-the(-one) held the(-thing)
προκείμενον εἶδεν ἐν τῷ συναλλάγματι. τούτου χάριν
offered saw in the exchange for-this for-the-sake
αὐτὸν αἱρεῖται λύτρον τῶν ἐν τῇ τοῦ θανάτου φρουρᾷ
him he-chooses ransom of-the(-ones) in the of-the death prison

καθειργμένων γενέσθαι. ἀλλὰ μὴν ἀμήχανον ἦν αὐτὸν
shut-up to-become but indeed impossible it-was him
γυμνῇ προσβλέψαι τῇ τοῦ θεοῦ φαντασίᾳ, μὴ σαρκός τινα
naked to-look-at the — of-god appearance not of-flesh some
μοῖραν ἐν αὐτῷ θεωρήσαντα, ἣν ἤδη διὰ τῆς ἁμαρτίας
portion in him having-beheld which already through the sin
κεχείρωτο. διὰ τοῦτο περικαλύπτεται τῇ σαρκὶ ἡ θεότης,
he-had-subdued because-of this is-veiled by-the flesh the godhead
ὡς ἄν, πρὸς τὸ σύντροφόν τε καὶ συγγενὲς αὐτῷ βλέπων,
that — toward the familiar both and kindred to-him looking
μὴ πτοηθείη τὸν προσεγγισμὸν τῆς ὑπερεχούσης
not he-might-be-terrified-at the approach of-the surpassing
δυνάμεως· καὶ τὴν ἠρέμα διὰ τῶν θαυμάτων ἐπὶ τὸ μεῖζον
power and the quietly through the wonders to the greater
διαλάμπουσαν δύναμιν κατανοήσας, ἐπιθυμητὸν μᾶλλον ἢ
shining-through power having-perceived desirable rather than
φοβερὸν τὸ φανὲν εἶναι νομίσῃ. ὁρᾷς ὅπως τὸ
fearful the(-thing) appearing to-be he-might-think you-see how the
ἀγαθὸν τῷ δικαίῳ συνέζευκται καὶ τὸ σοφὸν τούτων οὐκ
good with-the just has-been-yoked and the wise from-these not
ἀποκέκριται. τὸ γὰρ διὰ τῆς τοῦ σώματος περιβολῆς
has-been-separated the for through the of-the body covering
χωρητὴν τὴν θείαν δύναμιν ἐπινοῆσαι γενέσθαι, ὡς ἂν ἡ ὑπὲρ
containable the divine power to-devise to-become that — the for
ἡμῶν οἰκονομία μὴ παραποδισθείη τῷ φόβῳ τῆς θεικῆς
us economy not might-be-hindered by-the fear of-the divine
ἐπιφανείας, πάντων κατὰ ταὐτὸν τὴν ἀπόδειξιν ἔχει, τοῦ
manifestation of-all according-to the-same the proof has of-the
ἀγαθοῦ, τοῦ σοφοῦ, τοῦ δικαίου. τὸ μὲν γὰρ ἐλέσθαι σῶσαι
good of-the wise of-the just the indeed for to-choose to-save
τῆς ἀγαθότητός ἐστι μαρτυρία· τὸ δὲ συναλλαγματικὴν
of-the goodness is testimony the but by-exchange

ποιήσασθαι τὴν τοῦ κρατουμένου λύτρωσιν τὸ δίκαιον
to-make the of-the(-one) held redemption the just
δείκνυσι· τὸ δὲ χωρητὸν δι᾽ ἐπινοίας ποιῆσαι τῷ ἐχθρῷ
shows the but containable through device to-make for-the enemy
τὸ ἀχώρητον τῆς ἀνωτάτω σοφίας τὴν ἀπόδειξιν ἔχει.
the uncontainable of-the highest wisdom the proof has
Ἀλλ᾽ ἐπιζητεῖν εἰκὸς τὸν τῇ ἀκολουθίᾳ τῶν 24
but to-seek likely the(-one) to-the consequence of-the(-things)
εἰρημένων προσέχοντα, ποῦ τὸ δυνατὸν τῆς θεότητος, ποῦ
said attending where the powerful of-the godhead where
ἡ ἀφθαρσία τῆς θείας δυνάμεως ἐν τοῖς εἰρημένοις
the incorruption of-the divine power in the(-things) said
ὁρᾶται. ἵνα τοίνυν καὶ ταῦτα γένηται καταφανῆ, τὰ
is-seen that therefore also these-things may-become manifest the(-things)
ἐφεξῆς τοῦ μυστηρίου διασκοπήσωμεν, ἐν οἷς μάλιστα
next of-the mystery let-us-examine in which most
δείκνυται συγκεκραμένη τῇ φιλανθρωπίᾳ ἡ δύναμις.
is-shown blended with-the love-to-man the power
πρῶτον μὲν οὖν τὸ τὴν παντοδύναμον φύσιν καὶ πρὸς τὸ
first indeed then the the all-powerful nature even to the
ταπεινὸν τῆς ἀνθρωπότητος καταβῆναι ἰσχῦσαι πλείονα
lowly of-the humanity to-come-down to-be-able greater
τῆς δυνάμεως τὴν ἀπόδειξιν ἔχει ἢ τὰ μεγάλά τε καὶ
of-the power the proof has than the great-things both and
ὑπερφυῆ τῶν θαυμάτων. τὸ μὲν γὰρ μέγα τι καὶ
extraordinary of-the wonders the indeed for great something and
ὑψηλὸν ἐξεργασθῆναι παρὰ τῆς θείας δυνάμεως κατὰ
lofty to-be-accomplished by the divine power according-to
φύσιν πώς ἐστι καὶ ἀκόλουθον. καὶ οὐκ ἄν τινα ξενισμὸν
nature somehow is and consequent and not — any strangeness
ἐπάγοι τῇ ἀκοῇ τὸ λέγειν πᾶσαν τὴν ἐν τῷ κόσμῳ
would-bring to-the hearing the to-say all the in the world

κτίσιν καὶ πᾶν ὅ τι περ ἔξω τῶν φαινομένων
creation and all what ever indeed outside the(-things) appearing
καταλαμβάνεται, ἐν τῇ δυνάμει τοῦ θεοῦ συστῆναι,
is-grasped in the power — of-god to-have-been-constituted
αὐτοῦ τοῦ θελήματος πρὸς τὸ δοκοῦν οὐσιωθέντος.
itself the will to the(-thing) seeming having-been-given-substance
ἡ δὲ πρὸς τὸ ταπεινὸν κάθοδος περιουσία τίς ἐστι τῆς
the but to the lowly descent abundance some is of-the
δυνάμεως οὐδὲν ἐν τοῖς παρὰ φύσιν κωλυομένης. ὡς
power in-nothing in the(-things) beyond nature being-hindered as
γὰρ ἴδιόν ἐστι τῆς τοῦ πυρὸς οὐσίας ἡ ἐπὶ τὸ ἄνω φορά,
for proper is of-the of-the fire substance the to the upward motion
καὶ οὐκ ἄν τις θαύματος ἄξιον ἐπὶ τῆς φλογὸς
and not — anyone of-wonder worthy in-the-case-of the flame
ἡγήσαιτο τὸ φυσικῶς ἐνεργούμενον· εἰ δὲ ῥέουσαν
would-consider the(-thing) naturally effected if but flowing
ἐπὶ τὸ κάτω καθ' ὁμοιότητα τῶν ἐμβριθῶν σωμάτων
to the downward according-to likeness of-the heavy bodies
ἴδοι τὴν φλόγα, τὸ τοιοῦτον ἐν θαύματι ποιεῖται,
one-should-see the flame the such in wonder one-makes
πῶς τὸ πῦρ καὶ διαμένει πῦρ ὂν καὶ ἐν τῷ τρόπῳ τῆς
how the fire both remains fire being and in the manner of-the
κινήσεως ἐκβαίνει τὴν φύσιν, ἐπὶ τὸ κάτω φερόμενον·
motion goes-beyond the nature to the downward being-borne
οὕτως καὶ τὴν θείαν τε καὶ ὑπερέχουσαν δύναμιν οὐκ
so also the divine both and surpassing power not
οὐρανῶν μεγέθη καὶ φωστήρων αὐγαὶ καὶ ἡ τοῦ παντὸς
of-heavens magnitudes and of-luminaries rays and the of-the whole
διακόσμησις καὶ ἡ διηνεκὴς τῶν ὄντων οἰκονομία τοσοῦτον
ordering and the continual of-the beings administration so-much
ὅσον ἡ ἐπὶ τὸ ἀσθενὲς τῆς φύσεως ἡμῶν συγκατάβασις
as-much-as the toward the weak of-the nature our condescension

δείκνυσι, πῶς τὸ ὑψηλόν, ἐν τῷ ταπεινῷ γενόμενον,
shows how the lofty in the lowly having-come-to-be
καὶ ἐν τῷ ταπεινῷ καθορᾶται καὶ οὐ καταβαίνει τοῦ
both in the lowly is-seen and not descends from-the
ὕψους, πῶς θεότης ἀνθρωπίνῃ συμπλακεῖσα φύσει καὶ
height how godhead with-human having-been-interwoven nature both
τοῦτο γίνεται καὶ ἐκεῖνό ἐστιν. ἐπειδὴ γάρ, καθὼς ἐν
this becomes and that is since for as in
τοῖς ἔμπροσθεν εἴρηται, φύσιν οὐκ εἶχεν ἡ ἐναντία
the(-things) before has-been-said nature not had the opposite
δύναμις ἀκράτῳ προσμῖξαι τῇ τοῦ θεοῦ παρουσίᾳ καὶ
power with-unmixed to-approach the — of-god presence and
γυμνὴν ὑποστῆναι αὐτοῦ τὴν ἐμφάνειαν, ὡς ἂν εὔληπτον
naked to-endure his the manifestation that — easily-grasped
γένοιτο τῷ ἐπιζητοῦντι ὑπὲρ ἡμῶν τὸ ἀντάλλαγμα,
might-become for-the(-one) seeking for us the exchange
τῷ προκαλύμματι τῆς φύσεως ἡμῶν ἐνεκρύφθη τὸ θεῖον,
by-the veil of-the nature our was-hidden the divine
ἵνα κατὰ τοὺς λίχνους τῶν ἰχθύων τῷ δελέατι τῆς
that according-to the greedy of-the fishes with-the bait of-the
σαρκὸς συγκατασπασθῇ τὸ ἄγκιστρον τῆς θεότητος, καὶ
flesh may-be-drawn-down-with the hook of-the godhead and
οὕτω τῆς ζωῆς τῷ θανάτῳ εἰσοικισθείσης καὶ τῷ
so the life with-the death having-been-made-to-dwell and in-the
σκότῳ τοῦ φωτὸς ἐπιφανέντος ἐξαφανισθῇ τὸ τῷ
darkness the light having-appeared may-vanish the(-thing) to-the
φωτὶ καὶ τῇ ζωῇ κατὰ τὸ ἐναντίον νοούμενον· οὐ
light and to-the life according-to the opposite conceived not
γὰρ ἔχει φύσιν οὔτε σκότος διαμένειν ἐν φωτὸς παρουσίᾳ,
for has nature neither darkness to-remain in of-light presence
οὔτε θάνατον εἶναι ζωῆς ἐνεργούσης.
nor death to-be with-life working

οὐκοῦν ἐπὶ κεφαλαίων τοῦ μυστηρίου τὴν ἀκολουθίαν
therefore in summary of-the mystery the sequence
ἀναλαβόντες ἐντελῆ ποιησώμεθα τὴν ἀπολογίαν πρὸς
having-taken-up complete let-us-make the defense toward
τοὺς κατηγοροῦντας τῆς θείας οἰκονομίας, ὅτου χάριν
the(-ones) accusing the divine economy of-what for-the-sake
δι᾽ ἑαυτῆς ἡ θεότης τὴν ἀνθρωπίνην κατεργάζεται
through itself the godhead the human accomplishes
σωτηρίαν. δεῖ γὰρ διὰ πάντων τὸ θεῖον ἐν ταῖς
salvation it-is-needful for through all-things the divine in the
πρεπούσαις ὑπολήψεσιν εἶναι καὶ μὴ τὸ μὲν ὑψηλῶς
befitting suppositions to-be and not the(-thing) indeed loftily
ἐπ᾽ αὐτοῦ νοεῖσθαι, τὸ δὲ τῆς θεοπρεποῦς
in-the-case-of him to-be-conceived the(-thing) but from-the god-befitting
ἀξίας ἐκβάλλεσθαι· ἀλλὰ πᾶν ὑψηλόν τε καὶ εὐσεβὲς νόημα
dignity to-be-cast-out but every lofty both and pious thought
δεῖ πάντως ἐπὶ θεοῦ πιστεύεσθαι, καὶ συνηρτῆσθαι
must altogether in-the-case-of god to-be-believed and to-have-been-joined
δι᾽ ἀκολουθίας τῷ ἑτέρῳ τὸ ἕτερον. δέδεικται τοίνυν
through sequence to-the other the other has-been-shown therefore
τὸ ἀγαθόν, τὸ σοφόν, τὸ δίκαιον, τὸ δυνατόν, τὸ
the good the wise the just the powerful the
φθορᾶς ἀνεπίδεκτον, πάντα τῷ λόγῳ τῆς καθ᾽ ἡμᾶς
of-corruption not-admitting all-things by-the account of-the according-to us
οἰκονομίας ἐπιδεικνύμενα. ἡ ἀγαθότης ἐν τῷ προελέσθαι
economy displayed the goodness in the to-choose
σῶσαι τὸν ἀπολωλότα καταλαμβάνεται, ἡ σοφία καὶ
to-save the(-one) having-been-lost is-grasped the wisdom and
ἡ δικαιοσύνη ἐν τῷ τρόπῳ τῆς σωτηρίας ἡμῶν διεδείχθη,
the justice in the manner of-the salvation our were-displayed
ἡ δύναμις ἐν τῷ γενέσθαι μὲν αὐτὸν ἐν ὁμοιώματι
the power in the to-become indeed him in likeness

ἀνθρώπου καὶ σχήματι κατὰ τὸ ταπεινὸν τῆς φύσεως
of-man and form according-to the lowly of-the nature
ἡμῶν καὶ ἐλπισθῆναι δύνασθαι αὐτὸν καθ᾽ ὁμοιότητα
our and to-be-hoped to-be-able him according-to likeness
τῶν ἀνθρώπων τῷ θανάτῳ ἐγκρατηθῆναι, γενόμενον
of-the men by-the death to-be-mastered having-become
δὲ τὸ οἰκεῖον ἑαυτῷ καὶ κατὰ φύσιν ἐργάσασθαι.
but the(-thing) proper to-himself also according-to nature to-work
οἰκεῖον δὲ φωτὶ μὲν ὁ ἀφανισμὸς τοῦ σκότους, ζωῇ δὲ
proper but to-light indeed the vanishing of-the darkness to-life but
ἡ τοῦ θανάτου καθαίρεσις. ἐπεὶ οὖν τῆς εὐθείας ὁδοῦ
the of-the death destruction since then from-the straight road
παρενεχθέντες τὸ κατ᾽ ἀρχὰς τῆς ζωῆς ἐξετράπημεν
having-been-carried-aside the(-thing) at beginnings of-the life we-turned-from
καὶ τῷ θανάτῳ ἐγκατηνέχθημεν, τί τοῦ εἰκότος ἔξω
and to-the death we-were-brought-down what of-the likely outside
παρὰ τοῦ μυστηρίου μανθάνομεν, εἰ ἡ καθαρότης τῶν
from the mystery do-we-learn if the purity the(-ones)
ἐξ ἁμαρτίας μολυνθέντων ἐφάπτεται, καὶ ἡ ζωὴ τῶν
from sin defiled touches and the life the(-ones)
τεθνηκότων, καὶ ἡ ὁδηγία τῶν πεπλανημένων, ὡς ἂν
having-died and the guidance the(-ones) having-wandered that —
ὅ τε μολυσμὸς καθαρθείη, καὶ ἡ πλάνη θεραπευθείη,
the both defilement may-be-cleansed and the wandering may-be-healed
καὶ εἰς τὴν ζωὴν τὸ τεθνηκὸς ἐπανέλθοι;
and into the life the(-thing) having-died may-return
Τὸ δὲ ἐν τῇ φύσει γενέσθαι ἡμῶν τὴν θεότητα τοῖς 25
the but in the nature to-have-come-to-be our the godhead to-the(-ones)
μὴ λίαν μικροψύχως κατανοοῦσι τὰ ὄντα οὐδένα ἂν ἐκ
not very pettily perceiving the beings no — from
τοῦ εὐλόγου ξενισμὸν ἐπαγάγοι. τίς γὰρ οὕτω νήπιος τὴν
the reasonable strangeness would-bring who for so infantile in-the

ψυχὴν ὡς εἰς τὸ πᾶν βλέπων μὴ ἐν παντὶ πιστεύειν εἶναι
soul as to the whole looking not in everything to-believe to-be
τὸ θεῖον, καὶ ἐνδυόμενον καὶ ἐμπεριέχον καὶ ἐγκαθήμενον;
the divine both putting-on and encompassing and sitting-within
τοῦ γὰρ ὄντος ἐξῆπται τὰ ὄντα, καὶ οὐκ ἔνεστιν εἶναί
of-the for being hang the beings and not it-is-possible to-be
τι μὴ ἐν τῷ ὄντι τὸ εἶναι ἔχον. εἰ οὖν ἐν αὐτῷ
anything not in the being the to-be having if then in him
τὰ πάντα καὶ ἐν πᾶσιν ἐκεῖνο, τί ἐπαισχύνονται
the(-things) all and in all that why are-they-ashamed
τῇ οἰκονομίᾳ τοῦ μυστηρίου τοῦ θεὸν ἐν ἀνθρώπῳ
at-the economy of-the mystery of-the(-one) god in man
γεγενῆσθαι διδάσκοντος τὸν οὐδὲ νῦν ἔξω τοῦ
to-have-come-to-be teaching the(-one) not-even now outside the
ἀνθρώπου εἶναι πεπιστευμένον; εἰ γὰρ καὶ ὁ τρόπος τῆς
man to-be believed if for even the manner of-the
ἐν ἡμῖν τοῦ θεοῦ παρουσίας οὐχ ὁ αὐτὸς οὗτος ἐκείνῳ,
in us — of-god presence not the same this with-that
ἀλλ᾽ οὖν τὸ ἐν ἡμῖν εἶναι καὶ νῦν καὶ τότε κατὰ
but anyway the in us to-be both now and then according-to
τὸ ἴσον διωμολόγηται. νῦν μὲν οὖν ἐγκέκραται ἡμῖν ὡς
the equal has-been-agreed now indeed then he-is-blended with-us as
συνέχων ἐν τῷ εἶναι τὴν φύσιν· τότε δὲ κατεμίχθη πρὸς
holding-together in the to-be the nature then but he-was-mixed with
τὸ ἡμέτερον, ἵνα τὸ ἡμέτερον τῇ πρὸς τὸ θεῖον ἐπιμιξίᾳ
the our that the our by-the toward the divine intermixture
γένηται θεῖον, ἐξαιρεθὲν τοῦ θανάτου καὶ τῆς τοῦ
may-become divine having-been-removed from-the death and of-the of-the
ἀντικειμένου τυραννίδος ἔξω γενόμενον· ἡ γὰρ ἐκείνου
adversary tyranny outside having-come-to-be the for of-him

ἀπὸ τοῦ θανάτου ἐπάνοδος ἀρχὴ τῷ θνητῷ γένει τῆς
from the death return beginning for-the mortal race of-the
εἰς τὴν ἀθάνατον ζωὴν ἐπανόδου γίγνεται.
into the deathless life return becomes

26–29 · THE DECEIT OF THE DECEIVER, AND THE TIME OF THE CURE

Was it deceit for God to come hidden in flesh, unrecognized by the enemy? If so, it was just and wise: the deceiver, who had deceived man with the bait of pleasure, was deceived in turn; and good, since, as fire refines gold, it purges even the inventor of evil, and at the restoration all creation will give thanks. God touched every part of our life, birth to death, as a garment is washed whole, and came on earth, where the sickness was; nor is our birth shameful. A physician waits until a disease shows itself fully, and God came when evil reached its height.

Ἀλλ' ἴσως τις ἐν τῇ τῆς δικαιοσύνης τε καὶ σοφίας 26
but perhaps someone in the of-the justice both and wisdom
ἐξετάσει τῆς κατὰ τὴν οἰκονομίαν ταύτην θεωρουμένης
examination the according-to the economy this contemplated
ἐνάγεται πρὸς τὸ νομίσαι ἀπάτην τινὰ τὴν τοιαύτην
is-led to the to-think deceit some the such
μέθοδον ἐπινενοῆσθαι ὑπὲρ ἡμῶν τῷ θεῷ· τὸ γὰρ μὴ
method to-have-been-devised for us — by-god the for not
γυμνῇ τῇ θεότητι, ἀλλ' ὑπὸ τῆς ἀνθρωπίνης φύσεως
with-naked the godhead but by the human nature
κεκαλυμμένῃ, ἀγνοηθέντα παρὰ τοῦ ἐχθροῦ, τὸν θεὸν ἐντὸς
veiled unrecognized by the enemy — god within
τοῦ κρατοῦντος γενέσθαι ἀπάτη τίς ἐστι τρόπον τινὰ
the(-one) ruling to-come-to-be deceit some is in-manner some
καὶ παραλογισμός, ἐπείπερ ἴδιον τῶν ἀπατώντων ἐστὶ
and fallacy since-indeed proper of-the(-ones) deceiving is

τὸ πρὸς ἕτερον τὰς τῶν ἐπιβουλευομένων ἐλπίδας
the toward other the of-the(-ones) plotted-against hopes
τρέπειν καὶ ἄλλο παρὰ τὸ ἐλπισθὲν κατεργάζεσθαι.
to-turn and other beside the(-thing) hoped-for to-accomplish
ἀλλ᾽ ὁ πρὸς τὴν ἀλήθειαν βλέπων πάντων μάλιστα
but the(-one) toward the truth looking of-all most
καὶ τοῦτο τῆς δικαιοσύνης τε καὶ τῆς σοφίας εἶναι
also this of-the justice both and of-the wisdom to-be
συνθήσεται. δικαίου μὲν γάρ ἐστι τὸ κατ᾽ ἀξίαν ἑκάστῳ
will-agree of-just indeed for is the according-to worth to-each
νέμειν, σοφοῦ δὲ τὸ μήτε παρατρέπειν τὸ δίκαιον, μήτε
to-distribute of-wise but the neither to-pervert the just nor
τὸν ἀγαθὸν τῆς φιλανθρωπίας σκοπὸν ἀποχωρίζειν τῆς
the good of-the love-to-man aim to-separate from-the
κατὰ τὸ δίκαιον κρίσεως, ἀλλὰ συνάπτειν ἀλλήλοις
according-to the just judgment but to-join to-one-another
εὐμηχάνως ἀμφότερα, τῇ μὲν δικαιοσύνῃ τὸ κατ᾽
ingeniously both by-the indeed justice the(-thing) according-to
ἀξίαν ἀντιδιδόντα, τῇ δὲ ἀγαθότητι τοῦ σκοποῦ τῆς
worth rendering by-the but goodness from-the aim of-the
φιλανθρωπίας οὐκ ἐξιστάμενον. σκοπήσωμεν τοίνυν εἰ μὴ
love-to-man not departing let-us-consider therefore if not
τὰ δύο ταῦτα τοῖς γεγονόσιν ἐνθεωρεῖται. ἡ μὲν
the two these in-the(-things) having-happened are-seen the indeed
γὰρ τοῦ κατ᾽ ἀξίαν ἀντίδοσις, δι᾽ ἧς ὁ ἀπατεὼν
for of-the according-to worth requital through which the deceiver
ἀνταπατᾶται, τὸ δίκαιον δείκνυσιν, ὁ δὲ σκοπὸς τοῦ
is-deceived-in-turn the just shows the but aim of-the(-thing)
γιγνομένου μαρτυρία τῆς τοῦ ἐνεργοῦντος ἀγαθότητος
happening testimony of-the of-the(-one) working goodness
γίγνεται. ἴδιον μὲν γὰρ τῆς δικαιοσύνης τὸ ἐκεῖνα
becomes proper indeed for of-the justice the those-things

νέμειν ἑκάστῳ, ὧν τις τὰς ἀρχὰς καὶ τὰς αἰτίας
to-distribute to-each of-which anyone the beginnings and the causes
προκατεβάλετο, ὥσπερ ἡ γῆ κατὰ τὰ γένη τῶν
laid-down-beforehand as the earth according-to the kinds of-the
καταβληθέντων σπερμάτων καὶ τοὺς καρποὺς ἀντιδίδωσιν·
sown seeds also the fruits renders
σοφίας δὲ τὸ ἐν τῷ τρόπῳ τῆς τῶν ὁμοίων ἀντιδόσεως
of-wisdom but the in the manner of-the of-the like requital
μὴ ἐκπεσεῖν τοῦ βελτίονος. ὥσπερ γὰρ τῷ ἐδέσματι
not to-fall-away from-the better as for with-the food
ὁμοίως παραμίγνυσι τὸ φάρμακον καὶ ὁ ἐπιβουλεύων
alike mixes the drug both the(-one) plotting
καὶ ὁ τὸν ἐπιβουλευθέντα ἰώμενος· ἀλλ᾽ ὁ μὲν
and the(-one) the plotted-against healing but the(-one) indeed
τὸ δηλητήριον, ὁ δὲ τοῦ δηλητηρίου ἀλεξητήριον, καὶ
the poison the(-other) but of-the poison antidote and
οὐδὲν ὁ τρόπος τῆς θεραπείας τὸν σκοπὸν τῆς εὐεργεσίας
nothing the manner of-the treatment the aim of-the benefaction
διελυμήνατο· εἰ γὰρ καὶ παρ᾽ ἀμφοτέρων φαρμάκου μίξις
spoiled if for even by both of-drug mixture
ἐν τροφῇ γίγνεται, ἀλλὰ πρὸς τὸν σκοπὸν ἀποβλέψαντες
in food happens but to the aim having-looked
τὸν μὲν ἐπαινοῦμεν, τῷ δὲ χαλεπαίνομεν· οὕτω
the(-one) indeed we-praise with-the(-other) but we-are-angry so
καὶ ἐνταῦθα τῷ μὲν κατὰ τὸ δίκαιον λόγῳ ἐκεῖνα
also here by-the indeed according-to the just account those-things
ὁ ἀπατεὼν ἀντιλαμβάνει, ὧν τὰ σπέρματα διὰ τῆς
the deceiver receives-in-return of-which the seeds through the
ἰδίας προαιρέσεως κατεβάλετο· ἀπατᾶται γὰρ καὶ αὐτὸς
own choice he-laid-down is-deceived for also himself
τῷ τοῦ ἀνθρώπου προβλήματι ὁ προαπατήσας τὸν
by-the of-the man screen the(-one) having-first-deceived the

ἄνθρωπον τῷ τῆς ἡδονῆς δελεάσματι· ὁ δὲ σκοπὸς
man by-the of-the pleasure bait the but aim
τῶν γιγνομένων ἐπὶ τὸ κρεῖττον τὴν παραλλαγὴν ἔχει.
of-the(-things) happening to the better the change has
ὁ μὲν γὰρ ἐπὶ διαφθορᾷ τῆς φύσεως τὴν ἀπάτην
the(-one) indeed for unto corruption of-the nature the deceit
ἐνήργησεν, ὁ δὲ δίκαιος ἅμα καὶ ἀγαθὸς καὶ σοφὸς
worked the(-one) but just at-once and good and wise
ἐπὶ σωτηρίᾳ τοῦ καταφθαρέντος τῇ ἐπινοίᾳ τῆς
for salvation of-the(-one) corrupted the device of-the
ἀπάτης ἐχρήσατο, οὐ μόνον τὸν ἀπολωλότα διὰ τούτων
deceit used not only the(-one) having-been-lost through these
εὐεργετῶν, ἀλλὰ καὶ αὐτὸν τὸν τὴν ἀπώλειαν καθ'
benefiting but also himself the(-one) the destruction against
ἡμῶν ἐνεργήσαντα. ἐκ γὰρ τοῦ προσεγγίσαι τῇ ζωῇ μὲν
us having-worked from for the to-draw-near to-the life indeed
τὸν θάνατον, τῷ φωτὶ δὲ τὸ σκότος, τῇ ἀφθαρσίᾳ δὲ
the death to-the light but the darkness to-the incorruption but
τὴν φθοράν, ἀφανισμὸς μὲν τοῦ χείρονος γίγνεται καὶ εἰς
the corruption vanishing indeed of-the worse becomes and into
τὸ μὴ ὂν μεταχώρησις, ὠφέλεια δὲ τοῦ ἀπὸ τούτων
the not being passing benefit but of-the(-one) from these
καθαιρομένου. καθάπερ γάρ, ἀτιμοτέρας ὕλης τῷ χρυσῷ
being-cleansed as for of-less-honorable matter with-the gold
καταμιχθείσης, τῇ διὰ τοῦ πυρὸς δαπάνῃ τὸ ἀλλότριόν τε
having-been-mixed by-the through the fire consumption the foreign both
καὶ ἀπόβλητον οἱ θεραπευταὶ τοῦ χρυσίου καταναλώσαντες
and to-be-cast-away the refiners of-the gold having-consumed
πάλιν ἐπανάγουσι πρὸς τὴν κατὰ φύσιν λαμπηδόνα τὴν
again bring-back to the according-to nature brightness the
προτιμοτέραν ὕλην· οὐκ ἄπονος μέντοι γίνεται ἡ διάκρισις,
more-precious matter not painless however becomes the separation

χρόνῳ τοῦ πυρὸς τῇ ἀναλωτικῇ δυνάμει τὸ νόθον
in-time the fire with-the consuming power the bastard
ἐξαφανίζοντος, πλὴν ἀλλὰ θεραπεία τίς ἐστι τοῦ χρυσίου
making-vanish but nevertheless treatment some is of-the gold
τὸ ἐκτακῆναι αὐτὸ τὸ ἐπὶ λύμῃ τοῦ κάλλους ἐγκείμενον·
the to-be-melted-out itself the(-thing) for ruin of-the beauty lying-in
κατὰ τὸν αὐτὸν τρόπον, θανάτου καὶ φθορᾶς καὶ
according-to the same manner of-death and of-corruption and
σκότους καὶ εἴ τι κακίας ἔκγονον τῷ εὑρετῇ τοῦ κακοῦ
of-darkness and if anything of-vice offspring to-the inventor of-the evil
περιφυέντων, ὁ προσεγγισμὸς τῆς θείας δυνάμεως πυρὸς
having-grown-around the approach of-the divine power of-fire
δίκην ἀφανισμὸν τοῦ παρὰ φύσιν κατεργασάμενος
in-manner vanishing of-the(-thing) beyond nature having-accomplished
εὐεργετεῖ τῇ καθάρσει τὴν φύσιν, κἂν ἐπίπονος ἡ
benefits by-the cleansing the nature even-if painful the
διάκρισις ᾖ. οὐκοῦν οὐδ' ἂν παρ' αὐτοῦ τοῦ ἀντικειμένου
separation be therefore not-even — by himself the adversary
μὴ εἶναι δίκαιόν τε καὶ σωτήριον τὸ γεγονὸς
not to-be just both and saving the(-thing) having-happened
ἀμφιβάλοιτο, εἴπερ εἰς αἴσθησιν τῆς εὐεργεσίας ἔλθοι.
would-be-doubted if-indeed into perception of-the benefaction be-should-come
νυνὶ γὰρ καθάπερ οἱ ἐπὶ θεραπείᾳ τεμνόμενοί τε καὶ
now for as the(-ones) for treatment being-cut both and
καιόμενοι χαλεπαίνουσι τοῖς θεραπεύουσι, τῇ ὀδύνῃ
being-burned are-angry with-the(-ones) treating by-the pain
τῆς τομῆς δριμυσσόμενοι, εἰ δὲ τὸ ὑγιαίνειν διὰ τούτων
of-the incision being-stung if but the to-be-healthy through these
προσγένοιτο καὶ ἡ τῆς καύσεως ἀλγηδὼν παρέλθοι, χάριν
should-come-besides and the of-the burning pain should-pass thanks
εἴσονται τοῖς τὴν θεραπείαν ἐπ' αὐτῶν ἐνεργήσασι·
they-will-know to-the(-ones) the treatment on them having-worked

κατὰ τὸν αὐτὸν τρόπον ταῖς μακραῖς περιόδοις
according-to the same manner by-the long circuits
ἐξαιρεθέντος τοῦ κακοῦ τῆς φύσεως, τοῦ νῦν αὐτῇ
having-been-removed the evil from-the nature the(-evil) now with-it
καταμιχθέντος καὶ συμφυέντος, ἐπειδὰν ἡ εἰς τὸ ἀρχαῖον
mixed and grown-together when the into the ancient
ἀποκατάστασις τῶν νῦν ἐν κακίᾳ κειμένων γένηται,
restoration of-the(-ones) now in vice lying happens
ὁμόφωνος ἡ εὐχαριστία παρὰ πάσης ἔσται τῆς κτίσεως, καὶ
of-one-voice the thanksgiving from all will-be the creation both
τῶν ἐν τῇ καθάρσει κεκολασμένων καὶ τῶν μηδὲ
of-the(-ones) in the cleansing having-been-punished and of-the(-ones) not-even
τὴν ἀρχὴν ἐπιδεηθέντων καθάρσεως. ταῦτα καὶ τὰ τοιαῦτα
the beginning having-needed of-cleansing these-things and the such-things
παραδίδωσι τὸ μέγα μυστήριον τῆς θείας ἐνανθρωπήσεως.
hands-down the great mystery of-the divine incarnation
δι' ὧν γὰρ κατεμίχθη τῇ ἀνθρωπότητι, διὰ
through what-things for he-was-mixed with-the humanity through
πάντων τῶν τῆς φύσεως ἰδιωμάτων γενόμενος, γενέσεώς
all the of-the nature properties having-come-to-be of-birth
τε καὶ ἀνατροφῆς καὶ αὐξήσεως, καὶ μέχρι τῆς τοῦ
both and of-nurture and of-growth and as-far-as the of-the
θανάτου πείρας διεξελθών, τὰ προειρημένα πάντα
death trial having-gone-through the(-things) previously-said all
κατείργασται, τόν τε ἄνθρωπον τῆς κακίας ἐλευθερῶν
he-has-accomplished the both man from-the vice freeing
καὶ αὐτὸν τὸν τῆς κακίας εὑρετὴν ἰώμενος. ἴασις γάρ ἐστιν
and himself the of-the vice inventor healing healing for is
ἀρρωστίας ἡ τοῦ νοσήματος κάθαρσις, κἂν ἐπίπονος ᾖ.
of-sickness the of-the disease cleansing even-if painful it-be

Ἀκόλουθον δὲ πάντως τὸν πρὸς τὴν φύσιν ἡμῶν 27
consequent but altogether the(-one) with the nature our
ἀνακιρνάμενον διὰ πάντων δέξασθαι τῶν ἰδιωμάτων αὐτῆς
blending-himself through all to-receive the properties its
τὴν πρὸς ἡμᾶς συνανάκρασιν. καθάπερ γὰρ οἱ τὸν
the toward us commingling as for the(-ones) the
ῥύπον τῶν ἱματίων ἐκπλύνοντες οὐ τὰ μὲν ἐῶσι τῶν
filth of-the garments washing-out not the(-ones) indeed leave of-the
μολυσμάτων, τὰ δὲ ἀπορρύπτουσιν, ἀλλ' ἀπ' ἀρχῆς ἄχρι
stains the(-ones) but wash-off but from beginning until
τέλους ἐκκαθαίρουσι τῶν κηλίδων ἅπαν τὸ ὕφασμα, ὡς
end they-cleanse from-the spots all the fabric that
ἂν ὁμότιμον ἑαυτῷ δι' ὅλου τὸ ἱμάτιον γένοιτο, κατὰ
— *equal-in-honor with-itself through whole the garment may-become according-to*
τὸ ἴσον λαμπρυνθὲν ἐκ τῆς πλύσεως· οὕτως, μολυνθείσης
the equal brightened from the washing so having-been-defiled
τῇ ἁμαρτίᾳ τῆς ἀνθρωπίνης ζωῆς ἐν ἀρχῇ τε καὶ
by-the sin the human life in beginning both and
τελευτῇ καὶ τοῖς διὰ μέσου πᾶσιν, ἔδει διὰ
end and in-the(-things) through middle all it-was-needful through
πάντων γενέσθαι τὴν ἐκπλύνουσαν δύναμιν, καὶ μὴ τὸ
all to-come-to-be the washing-out power and not the(-thing)
μέν τι θεραπεῦσαι τῷ καθαρσίῳ, τὸ δὲ περιδεῖν
indeed some to-heal with-the cleansing the(-thing) but to-overlook
ἀθεράπευτον. τούτου χάριν τῆς ζωῆς ἡμῶν δύο πέρασιν
unhealed for-this for-the-sake the life our by-two ends
ἑκατέρωθεν διειλημμένης, τὸ κατὰ τὴν ἀρχήν φημι
on-each-side being-bounded the(-one) according-to the beginning I-mean
καὶ τὸ τέλος, καθ' ἑκάτερον εὑρίσκεται πέρας ἡ διορθωτικὴ
and the end at each is-found end the corrective
τῆς φύσεως δύναμις, καὶ τῆς ἀρχῆς ἁψαμένη καὶ μέχρι
of-the nature power both the beginning having-touched and as-far-as

τοῦ τέλους ἑαυτὴν ἐπεκτείνασα καὶ τὰ διὰ μέσου
the end itself having-extended and the(-things) through middle
τούτων πάντα διαλαβοῦσα. μιᾶς δὲ πᾶσιν ἀνθρώποις
these all having-comprehended one but for-all men
τῆς εἰς τὴν ζωὴν οὔσης παρόδου, πόθεν ἔδει τὸν
the into the life being entrance whence was-it-needful the(-one)
εἰσιόντα πρὸς ἡμᾶς εἰσοικισθῆναι τῷ βίῳ; ἐξ οὐρανοῦ,
entering to us to-be-made-to-dwell in-the life from heaven
φησὶ τυχὸν ὁ διαπτύων ὡς αἰσχρόν τε καὶ ἄδοξον τὸ
says perhaps the(-one) spitting-at as shameful both and inglorious the
εἶδος τῆς ἀνθρωπίνης γενέσεως. ἀλλ᾽ οὐκ ἦν ἐν οὐρανῷ τὸ
form of-the human birth but not was in heaven the
ἀνθρώπινον, οὐδέ τις ἐν τῇ ὑπερκοσμίῳ ζωῇ κακίας νόσος
human nor any in the supercosmic life of-vice disease
ἐπεχωρίαζεν. ὁ δὲ τῷ ἀνθρώπῳ καταμιγνύμενος
dwelt the(-one) but with-the man being-mixed
τῷ σκοπῷ τῆς ὠφελείας ἐποιεῖτο τὴν συνανάκρασιν. ἔνθα
by-the aim of-the benefit made the commingling where
τοίνυν τὸ κακὸν οὐκ ἦν, οὐδὲ ὁ ἀνθρώπινος ἐπολιτεύετο
therefore the evil not was nor the human lived
βίος, πῶς ἐπιζητεῖ τις ἐκεῖθεν τῳ θεῷ περιπλακῆναι
life how seeks anyone thence with-some god to-be-intertwined
τὸν ἄνθρωπον, μᾶλλον δὲ οὐχὶ ἄνθρωπον, ἀλλὰ ἀνθρώπου
the man rather but not man but of-man
τι εἴδωλον καὶ ὁμοίωμα; τίς δ᾽ ἂν ἐγένετο τῆς φύσεως
some image and likeness who but — would-have-become of-the nature
ἡμῶν ἡ διόρθωσις, εἰ τοῦ ἐπιγείου ζῴου νενοσηκότος
our the correction if the earthly living-creature having-fallen-sick
ἕτερόν τι τῶν οὐρανίων τὴν θείαν ἐπιμιξίαν ἐδέξατο;
other some of-the heavenly-things the divine intermixture received
οὐκ ἔστι γὰρ θεραπευθῆναι τὸν κάμνοντα, μὴ τοῦ
not it-is-possible for to-be-healed the(-one) suffering not the

πονοῦντος μέρους ἰδιαζόντως δεξαμένου τὴν ἴασιν. εἰ οὖν
toiling part peculiarly having-received the cure if then
τὸ μὲν κάμνον ἐπὶ γῆς ἦν, ἡ δὲ θεία δύναμις τοῦ
the(-thing) indeed suffering upon earth was the but divine power the(-thing)
κάμνοντος μὴ ἐφήψατο, πρὸς τὸ ἑαυτῆς βλέπουσα
suffering not touched to the(-thing) of-itself looking
πρέπον, ἄχρηστος ἦν τῷ ἀνθρώπῳ ἡ περὶ τὰ
fitting useless was for-the man the about the(-things)
μηδὲν ἡμῖν ἐπικοινωνοῦντα τῆς θείας δυνάμεως ἀσχολία.
in-nothing with-us communicating of-the divine power occupation
τὸ μὲν γὰρ ἀπρεπὲς ἐπὶ τῆς θεότητος ἴσον, εἴπερ
the indeed for unbecoming in-the-case-of the godhead equal if-indeed
ὅλως θεμιτόν ἐστιν ἄλλο τι παρὰ τὴν κακίαν ἀπρεπὲς
at-all lawful it-is other anything beside the vice unbecoming
ἐννοεῖν. πλὴν τῷ μικροψύχως ἐν τούτῳ κρίνοντι τὴν
to-conceive however for-the(-one) pettily in this judging the
θείαν μεγαλειότητα, ἐν τῷ μὴ δέξασθαι τῶν τῆς φύσεως
divine majesty in the not to-receive of-the of-the nature
ἡμῶν ἰδιωμάτων τὴν κοινωνίαν, οὐδὲν μᾶλλον παραμυθεῖται
our properties the communion nothing more comforts
τὸ ἄδοξον οὐρανίῳ σώματι ἢ ἐπιγείῳ συσχηματισθῆναι
the inglorious with-heavenly body than with-earthly to-be-conformed
τὸ θεῖον. τοῦ γὰρ ὑψίστου καὶ ἀπροσίτου κατὰ τὸ
the divine of-the for highest and unapproachable according-to the
ὕψος τῆς φύσεως ἡ κτίσις πᾶσα κατὰ τὸ ἴσον ἐπὶ τὸ
height of-the nature the creation all according-to the equal toward the
κάτω ἀφέστηκε, καὶ ὁμοτίμως αὐτῷ τὸ πᾶν ὑποβέβηκε.
below has-stood-off and with-equal-honor to-him the whole has-gone-under
τὸ γὰρ καθ' ὅλου ἀπρόσιτον οὔ τινι μέν ἐστι προσιτόν,
the for on whole unapproachable not to-some indeed is approachable
τῷ δὲ ἀπροσπέλαστον, ἀλλ' ἐπ' ἴσης πάντων τῶν
to-another but inaccessible but on equal-terms all the

ὄντων ὑπερανέστηκεν. οὔτε οὖν ἡ γῆ πορρωτέρω τῆς
beings transcends neither then the earth farther from-the
ἀξίας ἐστίν, οὔτε ὁ οὐρανὸς πλησιαίτερος, οὔτε τὰ
worth is nor the heaven nearer nor the(-things)
ἐν ἑκατέρῳ τῶν στοιχείων ἐνδιαιτώμενα διαφέρει τι
in each of-the elements dwelling differ in-anything
ἀλλήλων ἐν τῷ μέρει τούτῳ, ὡς τὰ μὲν ἐφάπτεσθαι
from-one-another in the part this so-that the(-ones) indeed to-touch
τῆς ἀπροσίτου φύσεως, τὰ δὲ ἀποκρίνεσθαι, ἢ οὕτω
the unapproachable nature the(-others) but to-be-separated or so
γ' ἂν μὴ διὰ πάντων ἐπ' ἴσης διήκειν τὴν τὸ
at-least — not through all on equal-terms to-pervade the the
πᾶν ἐπικρατοῦσαν δύναμιν ὑπονοήσαιμεν, ἀλλ' ἔν τισι
whole mastering power we-would-suppose but in some
πλεονάζουσαν, ἐν ἑτέροις ἐνδεεστέραν εἶναι, καὶ τῇ πρὸς
abounding in others more-deficient to-be and by-the toward
τὸ ἔλαττόν τε καὶ πλέον καὶ μᾶλλον καὶ ἧττον διαφορᾷ
the less both and more and more and less difference
σύνθετον ἐκ τοῦ ἀκολούθου τὸ θεῖον ἀναφανήσεται,
composite from the consequence the divine will-appear
αὐτὸ πρὸς ἑαυτὸ μὴ συμβαῖνον, εἴπερ ἡμῶν πόρρωθεν
itself toward itself not agreeing if-indeed from-us far
ὑπονοοῖτο εἶναι τῷ λόγῳ τῆς φύσεως, ἑτέρῳ δέ τινι
should-be-supposed to-be by-the account of-the nature to-another but some
γειτνιῶν καὶ εὔληπτον ἐκ τοῦ σύνεγγυς γίγνοιτο. ἀλλ' ὁ
neighboring and easily-grasped from the near should-become but the
ἀληθὴς λόγος ἐπὶ τῆς ὑψηλῆς ἀξίας οὔτε κάτω βλέπει
true account in-the-case-of the lofty worth neither down looks
διὰ συγκρίσεως, οὔτε ἄνω· πάντα γὰρ κατὰ τὸ ἴσον
through comparison nor up all-things for according-to the equal
τὴν τοῦ παντὸς ἐπιστατοῦσαν δύναμιν ὑποβέβηκεν, ὥστε,
the of-the whole presiding power have-gone-under so-that

εἰ τὴν ἐπίγειον φύσιν ἀναξίαν τῆς πρὸς τὸ θεῖον οἰήσονται
if the earthly nature unworthy of-the toward the divine they-will-think
συμπλοκῆς, οὐδ' ἂν ἄλλη τις εὑρεθείη τὸ ἄξιον ἔχουσα. εἰ
interweaving not-even — other any would-be-found the worth having if
δὲ ἐπ' ἴσης πάντα τῆς ἀξίας ἀπολιμπάνεται, ἓν πρέπον
but on equal-terms all-things from-the worth fall-short one fitting
ἐστὶ τῷ θεῷ τὸ εὐεργετεῖν τὸν δεόμενον. ὅπου τοίνυν ἦν
is — to-god the to-benefit the(-one) needing where therefore was
ἡ νόσος, ἐκεῖ φοιτῆσαι τὴν ἰωμένην δύναμιν ὁμολογοῦντες,
the disease there to-resort the healing power confessing
τί ἔξω τῆς θεοπρεποῦς ὑπολήψεως πεπιστεύκαμεν;
what outside the god-befitting supposition have-we-believed
Ἀλλὰ κωμῳδοῦσι τὴν φύσιν ἡμῶν, καὶ τὸν τῆς γεννήσεως 28
but they-lampoon the nature our and the of-the birth
τρόπον διαθρυλλοῦσι, καὶ οἴονται διὰ τούτων ἐπιγέλαστον
manner they-babble-about and think through these laughable
ποιεῖν τὸ μυστήριον, ὡς ἀπρεπὲς ὂν θεῷ διὰ τοιαύτης
to-make the mystery as unbecoming being for-god through such
εἰσόδου τῆς τοῦ ἀνθρωπίνου βίου κοινωνίας ἐφάψασθαι.
entrance of-the of-the human life communion to-lay-hold-of
ἀλλ' ἤδη περὶ τούτου καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται
but already about this also in the before has-been-said
λόγοις, ὅτι μόνον αἰσχρὸν τῇ ἑαυτοῦ φύσει τὸ κακόν
words that alone shameful in-the its-own nature the evil
ἐστι καὶ εἴ τι πρὸς τὴν κακίαν οἰκείως ἔχει. ἡ δὲ τῆς
is and if anything toward the vice akin is the but of-the
φύσεως ἀκολουθία, θείῳ βουλήματι καὶ νόμῳ διαταχθεῖσα,
nature sequence by-divine will and law ordained
πόρρω τῆς κατὰ κακίαν ἐστὶ διαβολῆς, ἢ οὕτω γ'
far from-the according-to vice is reproach or so at-least
ἂν ἐπὶ τὸν δημιουργὸν ἡ κατηγορία τῆς φύσεως ἐπανίοι,
— upon the creator the accusation of-the nature would-go-back

εἴ τι τῶν περὶ αὐτὴν ὡς αἰσχρόν τε καὶ ἀπρεπὲς
if anything of-the(-things) about it as shameful both and unbecoming
διαβάλλοιτο. εἰ οὖν μόνης κακίας τὸ θεῖον κεχώρισται,
should-be-slandered if then from-alone vice the divine has-been-separated
φύσις δὲ κακία οὐκ ἔστι, τὸ δὲ μυστήριον ἐν ἀνθρώπῳ
nature but vice not is the but mystery in man
γενέσθαι τὸν θεόν, οὐκ ἐν κακίᾳ λέγει, ἡ δὲ τοῦ ἀνθρώπου
to-come-to-be — god not in vice says the but of-the man
ἐπὶ τὸν βίον εἴσοδος μία ἐστί, δι' ἧς παράγεται
into the life entrance one is through which is-brought-forth
ἐπὶ τὴν ζωὴν τὸ γεννώμενον, τίνα νομοθετοῦσιν
into the life the(-thing) being-born what do-they-legislate
ἕτερον τρόπον τῷ θεῷ τῆς εἰς τὸν βίον παρόδου οἱ
other manner — for-god of-the into the life passage the(-ones)
ἐπισκεφθῆναι μὲν παρὰ τῆς θείας δυνάμεως ἀσθενήσασαν
to-be-visited indeed by the divine power having-become-weak
ἐν κακίᾳ τὴν φύσιν εὔλογον κρίνοντες, πρὸς δὲ τὸν τῆς
in vice the nature reasonable judging toward but the of-the
ἐπισκέψεως τρόπον δυσαρεστούμενοι, οὐκ εἰδότες ὅτι πᾶσα
visitation manner being-displeased not knowing that all
πρὸς ἑαυτὴν ἡ κατασκευὴ τοῦ σώματος ὁμοτίμως ἔχει,
toward itself the construction of-the body equal-in-honor is
καὶ οὐδὲν ἐν ταύτῃ τῶν πρὸς τὴν σύστασιν τῆς ζωῆς
and nothing in this of-the(-things) toward the constitution of-the life
συντελούντων ὡς ἄτιμόν τι ἢ πονηρὸν διαβάλλεται;
contributing as dishonored anything or wicked is-slandered
πρὸς ἕνα γὰρ σκοπὸν ἡ τῶν ὀργανικῶν μελῶν διασκευὴ
toward one for aim the of-the organic limbs arrangement
πᾶσα συντέτακται. ὁ δὲ σκοπός ἐστι τὸ διαμένειν
all has-been-ordered-together the but aim is the to-remain
ἐν τῇ ζωῇ τὸ ἀνθρώπινον. τὰ μὲν οὖν λοιπὰ τῶν
in the life the human the(-things) indeed then remaining of-the

ὀργάνων τὴν παροῦσαν συνέχει τῶν ἀνθρώπων ζωήν,
organs the present hold-together of-the men life
ἄλλα πρὸς ἄλλην ἐνέργειαν μεμερισμένα, δι᾽ ὧν ἡ
others toward other activity divided through which the
αἰσθητική τε καὶ ἐνεργητικὴ δύναμις οἰκονομεῖται· τὰ δὲ
sensitive both and active power is-administered the but
γεννητικὰ τοῦ μέλλοντος ἔχει τὴν πρόνοιαν, δι᾽ ἑαυτῶν
generative of-the future have the forethought through themselves
τῇ φύσει τὴν διαδοχὴν ἀντεισάγοντα. εἰ οὖν πρὸς τὸ
for-the nature the succession bringing-in-instead if then to the
χρειώδες βλέποις, τίνος ἂν εἴη τῶν τιμίων εἶναι
useful you-should-look of-what — would-they-be of-the precious to-be
νομιζομένων ἐκεῖνα δεύτερα; τίνος δὲ οὐκ ἂν προτιμότερα
considered those second-things of-what and not — more-honorable
κατὰ τὸ εὔλογον κρίνοιτο; οὐ γὰρ ὀφθαλμῷ καὶ
according-to the reasonable would-they-be-judged not for by-eye and
ἀκοῇ καὶ γλώσσῃ, ἢ ἄλλῳ τινὶ τῶν αἰσθητηρίων πρὸς τὸ
hearing and tongue or other some of-the sense-organs toward the
διηνεκὲς τὸ γένος ἡμῶν διεξάγεται· ταῦτα γάρ, καθὼς
continuous the race our is-carried-on these-things for as
εἴρηται, τῆς παρούσης ἐστὶν ἀπολαύσεως· ἀλλ᾽ ἐν ἐκείνοις
has-been-said of-the present are enjoyment but in those
ἡ ἀθανασία συντηρεῖται τῇ ἀνθρωπότητι, ὡς ἀεὶ καθ᾽
the immortality is-preserved for-the humanity so-that always against
ἡμῶν ἐνεργοῦντα τὸν θάνατον ἄπρακτον εἶναι τρόπον
us working the death ineffective to-be in-manner
τινὰ καὶ ἀνήνυτον, πάντοτε πρὸς τὸ λεῖπον διὰ
some and unaccomplished always toward the(-thing) lacking through
τῶν ἐπιγινομένων ἑαυτὴν ἀντεισαγούσης τῆς φύσεως.
the(-ones) born-after itself bringing-in-instead the nature
τί οὖν ἁρπεπὲς περιέχει ἡμῶν τὸ μυστήριον, εἰ διὰ
what then unbecoming contains our the mystery if through

τούτων κατεμίχθη ὁ θεὸς τῷ ἀνθρωπίνῳ βίῳ, δι᾽
these was-mixed — god with-the human life through
ὧν ἡ φύσις πρὸς τὸν θάνατον μάχεται;
which the nature against the death fights

29 Ἀλλὰ μεταβάντες ἀπὸ τούτου δι᾽ ἑτέρων πάλιν κακίζειν
but having-passed-over from this through others again to-revile
ἐπιχειροῦσι τὸν λόγον καί φασιν, εἰ καλὸν καὶ πρέπον τῷ
attempt the word and say if beautiful and fitting —
θεῷ τὸ γενόμενον, τί ἀνεβάλετο τὴν εὐεργεσίαν; τί δὲ
to-god the(-thing) having-happened why did-he-put-off the benefaction why and
οὐκ ἐν ἀρχαῖς οὔσης τῆς κακίας τὴν ἐπὶ τὸ πλέον αὐτῆς
not in beginnings being the vice the to the more its
πρόοδον ὑπετέμετο; πρὸς δὲ τοῦτο σύντομος ὁ παρ᾽ ἡμῶν
advance did-he-cut-off toward but this concise the from us
ἐστὶ λόγος, ὅτι σοφίᾳ γέγονε καὶ τοῦ λυσιτελοῦντος
is word that in-wisdom happened and of-the(-thing) profitable
τῇ φύσει προμηθείᾳ ἡ πρὸς τὴν εὐεργεσίαν ἡμῶν
for-the nature by-forethought the toward the benefaction our
ἀναβολή. καὶ γὰρ ἐπὶ τῶν σωματικῶν νοσημάτων,
delay and for in-the-case-of the bodily diseases
ὅταν τις διεφθορὼς χυμὸς ὑφέρπῃ τοὺς πόρους, πρὶν
when some corrupted humor creep-under the pores before
ἅπαν ἐπὶ τὴν ἐπιφάνειαν ἐκκαλυφθῆναι τὸ παρὰ φύσιν
all to the surface to-be-uncovered the(-thing) beyond nature
ἐγκείμενον, οὐ καταφαρμακεύεται τοῖς πυκνοῦσι τὸ
lying-in not is-drugged with-the(-things) condensing the
σῶμα παρὰ τῶν τεχνικῶς μεθοδευόντων τὰ πάθη, ἀλλ᾽
body by the(-ones) skillfully treating the sufferings but
ἀναμένουσι τὸ ἐνδομυχοῦν ἅπαν ἔξω γενέσθαι, καὶ
they-await the(-thing) lurking-within all outside to-come and
οὕτω γυμνῷ τῷ πάθει τὴν ἰατρείαν προσάγουσιν. ἐπειδὴ
so naked to-the suffering the healing they-apply since

τοίνυν ἅπαξ ἐνέσκηψε τῇ φύσει τῆς ἀνθρωπότητος ἡ
therefore once fell-upon the nature of-the humanity the
τῆς κακίας νόσος, ἀνέμεινεν ὁ τοῦ παντὸς θεραπευτὴς
of-the vice disease awaited the of-the whole healer
μηδὲν ὑπολειφθῆναι τῆς πονηρίας εἶδος ἐγκεκρυμμένον
nothing to-be-left of-the wickedness form hidden
τῇ φύσει. διὰ τοῦτο οὐκ εὐθὺς μετὰ τὸν φθόνον
in-the nature because-of this not immediately after the envy
καὶ τὴν ἀδελφοκτονίαν τοῦ Κάιν προσάγει τῷ ἀνθρώπῳ
συνονομαζομένης αὐτῇ. Τὸ γὰρ ἄφθορον κατὰ τὴν
named-together with-it the for incorrupt according-to the
συνήθειαν τῶν πολλῶν ἐπὶ τῆς παρθενίας λεγόμενον,
custom of-the many of the virginity being-said
σημαντικόν ἐστι τῆς ἐν αὐτῇ καθαρότητος. Ὥστε διὰ
indicative is of-the in it purity so-that through

τοῦ ἰσοδυναμοῦντος ὀνόματος ἔστιν ἐπιγνῶναι τὴν
the equivalent name it-is-possible to-recognize the
ὑπερβολὴν τοῦ τοιούτου χαρίσματος, εἴπερ πολλῶν ὄντων
excess of-the such gift if-indeed many being
τῶν κατ᾽ ἀρετὴν ἐπιτελουμένων, μόνον τοῦτο τῇ
of-the(-things) according-to virtue accomplished alone this by-the
ἐπωνυμίᾳ τοῦ ἀφθάρτου τετίμηται. Εἰ δὲ χρὴ καὶ δι᾽
surname of-the incorruptible has-been-honored if but it-is-needful also through
ἐγκωμίων ταύτην τοῦ Μεγάλου Θεοῦ δωρεὰν ἀποσεμνύνειν,
encomia this of-the Great God gift to-exalt
ἀρκεῖ πρὸς εὐφημίαν αὐτῆς ὁ θεῖος Ἀπόστολος, δι᾽
suffices toward praise of-it the divine Apostle through
ὀλίγων ῥημάτων πᾶσαν ἐγκωμίων ὑπερβολὴν ἀποκρύψας,
few words all of-encomia excess having-hidden
ὃς ἁγίαν καὶ ἄμωμον τὴν κεκοσμημένην διὰ τῆς
who holy and blameless the(-one) adorned through the
χάριτος ταύτης ὠνόμασεν. Εἰ γὰρ τὸ κατόρθωμα τῆς
grace this named if for the achievement of-the
σεμνῆς ταύτης παρθενίας ἐστί, τὸ ἄμωμόν τινα γενέσθαι
august this virginity is the blameless someone to-become
καὶ ἅγιον· ταῦτα δὲ τὰ ὀνόματα κυρίως καὶ πρώτως
and holy these but the names properly and firstly
εἰς δόξαν παραλαμβάνεται τοῦ ἀφθάρτου Θεοῦ· τίς
for glory are-taken of-the incorruptible God what
μείζων ἔπαινος παρθενίας, ἢ τὸ ἀποδειχθῆναι διὰ
greater praise of-virginity than the to-be-shown through
τούτων θεοποιοῦσαν τρόπον τινὰ τοὺς τῶν καθαρῶν
these deifying in-manner some the(-ones) of-the pure
αὐτῆς μυστηρίων μετεσχηκότας, εἰς τὸ γενέσθαι αὐτοὺς
its mysteries having-partaken for the to-become them
κοινωνοὺς τῆς δόξης τοῦ μόνου ὡς ἀληθῶς ἁγίου καὶ
partners of-the glory of-the alone as truly holy and

ἀμώμου Θεοῦ, διὰ καθαρότητος αὐτῷ καὶ ἀφθαρσίας
blameless God through purity to-him and incorruption
οἰκειουμένους. Ὅσοι δὲ μακροὺς ἐπαίνους ἐν διεξοδικοῖς
being-made-kin as-many-as but long praises in prolix
κατατείνουσι λόγοις, ὡς διὰ τούτων προσθήσοντές τι
extend speeches as through these going-to-add something
τῷ θαύματι τῆς παρθενίας, λελήθασιν ἑαυτούς, κατά
to-the wonder of-the virginity have-escaped-notice themselves according-to
γε τὴν ἐμὴν κρίσιν, ἐναντιούμενοι τῷ ἰδίῳ σκοπῷ· δι᾽
at-least the my judgment opposing the own aim through
ὧν ἐξαίρουσιν εἰς μέγεθος, ὕποπτον ποιοῦντες διὰ
what-things they-exalt into greatness suspect making through
τῶν ἐγκωμίων τὸν ἔπαινον. Ὅσα γὰρ ἐν τῇ φύσει τὸ
the encomia the praise as-many-as for in the nature the
μεγαλεῖον ἔχει, οἴκοθεν τὸ θαῦμα ἐπάγεται, οὐδὲν τῆς ἐκ
greatness have from-home the wonder bring nothing of-the from
τῶν λόγων συνηγορίας δεόμενα· καθάπερ ὁ οὐρανός, ἢ
the words advocacy needing as the heaven or
ὁ ἥλιος, ἢ ἄλλο τι τῶν τοῦ κόσμου θαυμάτων· τοῖς
the sun or other any of-the of-the world wonders for-the
δὲ ταπεινοτέροις τῶν ἐπιτηδευμάτων ἀντὶ ὑποβάθρας ὁ
but lowlier of-the practices instead-of pedestal the
λόγος γινόμενος, μεγέθους τινὰ φαντασίαν διὰ τῆς τῶν
word becoming of-greatness some impression through the of-the
ἐπαίνων περινοίας προστίθησιν. Ὅθεν πολλάκις τὸ ἐκ
praises ingenuity adds whence often the from
τῶν ἐγκωμίων κατασκευαζόμενον θαῦμα, ὡς σεσοφισμένον
the encomia being-constructed wonder as sophistically-contrived
καθυποπτεύεται ὑπὸ τῶν ἀνθρώπων. Ἔπαινος δὲ μόνος
is-suspected by the men praise but alone
ἱκανὸς τῆς παρθενίας ἐστί, τὸ κρείττονα τῶν ἐπαίνων εἶναι
sufficient of-the virginity is the better than-the praises to-be

τὴν ἀρετὴν ἀποφήνασθαι, καὶ τῷ βίῳ θαυμάσαι μᾶλλον
the virtue to-declare and by-the life to-admire rather
ἢ τῷ λόγῳ τὴν καθαρότητα· ὁ δὲ ὑπόθεσιν ἐγκωμίων
than by-the word the purity the(-one) but theme of-encomia
ταύτην ὑπὸ φιλοτιμίας ποιούμενος, ἔοικε τὴν σταγόνα τῶν
this from ambition making seems the drop of-the
οἰκείων ἱδρώτων ἀξιόλογον εἰς προσθήκην νομίζειν τῷ
own sweats noteworthy for addition to-think to-the
ἀπείρῳ πελάγει γενήσεσθαι, εἴγε ἀνθρωπίνῳ λόγῳ δυνατὸν
boundless sea to-become if-indeed by-human word possible
εἶναι τὴν τοσαύτην χάριν ἀποσεμνῦναι πεπίστευκεν. Ἢ γὰρ
to-be the so-great grace to-exalt he-has-believed either for
τὴν ἑαυτοῦ δύναμιν ἀγνοεῖ, ἢ ὃ ἐπαινεῖ οὐκ ἐπίσταται.
the his-own power he-is-ignorant-of or what he-praises not he-understands

Ὅτι ἴδιον τῆς θείας τε καὶ ἀσωμάτου φύσεως κατόρθωμά ἐστιν ἡ παρθενία

2 · THAT VIRGINITY BELONGS TO THE BODILESS NATURE

Virginity is found in the incorruptible Father, who begot the Son without passion, in the Son, and in the Holy Spirit's purity, and it lives with all the powers above. By God's love it was granted to men, a hand to lift fallen nature. Christ entered the world not through marriage, to show that purity alone can receive God; what happened bodily in Mary happens in every soul that lives as a virgin. So virginity brings God down to human life and wings man toward heaven. Bidden to write, Gregory will say a little, not boastfully but for others' profit.

Συνέσεως γὰρ ἡμῖν χρεία πολλῆς, δι' ἧς ἔστι γνῶναι
of-understanding for for-us need much through which it-is-possible to-know
τὴν ὑπερβολὴν τῆς χάριτος ταύτης, ἥτις συνεπινοεῖται
the excess of-the grace this which is-conceived-together

μὲν τῷ ἀφθάρτῳ Πατρί· ὃ δὴ καὶ παράδοξον, ἐν
indeed with-the incorruptible Father which indeed also paradoxical in
Πατρὶ παρθενίαν εὑρίσκεσθαι, τῷ τε Υἱὸν ἔχοντι,
Father virginity to-be-found in-the(-one) both Son having
καὶ δίχα πάθους γεννήσαντι· τῷ δὲ Μονογενεῖ Θεῷ τῷ
and without passion having-begotten in-the but Only-begotten God the
τῆς ἀφθαρσίας χορηγῷ συγκαταλαμβάνεται, ὁμοῦ τῷ
of-the incorruption provider it-is-comprehended-together together with-the
καθαρῷ καὶ ἀπαθεῖ τῆς γεννήσεως αὐτοῦ συνεκλάμψασα.
pure and impassible of-the begetting his having-shone-forth-with
Πάλιν τὸ ἴσον παράδοξον, Υἱὸς διὰ παρθενίας νοούμενος.
again the equal paradoxical Son through virginity being-conceived
Ἐνθεωρεῖται δὲ ὡσαύτως καὶ τῇ τοῦ ἁγίου Πνεύματος
it-is-contemplated-in but likewise also in-the of-the holy Spirit
φυσικῇ καὶ ἀφθάρτῳ καθαρότητι. Τὸ γὰρ καθαρὸν
natural and incorruptible purity the for pure
καὶ ἄφθαρτον ὀνομάσας, ἄλλῳ ὀνόματι τὴν παρθενίαν
and incorruptible having-named by-other name the virginity
ἐσήμανας. Πάσῃ δὲ τῇ ὑπερκοσμίῳ φύσει συμπολιτεύεται,
you-signified with-all but the supercosmic nature it-shares-citizenship
διὰ τῆς ἀπαθείας συμπαροῦσα ταῖς ὑπερεχούσαις
through the impassibility being-present-with the surpassing
δυνάμεσιν, οὔτε τινὸς τῶν θείων χωριζομένη, καὶ
powers neither from-any of-the divine-things being-separated and
οὐδενὸς τῶν ἐναντίων προσαπτομένη. Πάντα γὰρ ὅσα
nothing of-the opposites touching all for as-many-as
καὶ φύσει καὶ προαιρέσει πρὸς ἀρετὴν νένευκεν, τῷ
both by-nature and by-choice toward virtue have-inclined with-the
καθαρῷ πάντως ἐνωραΐζεται τῆς ἀφθαρσίας· καὶ ὅσα
purity altogether are-beautified of-the incorruption and as-many-as
πάντα εἰς τὴν ἐναντίαν ἀποκέκριται τάξιν, τῇ ἀποπτώσει
all into the opposite are-separated rank by-the falling-away

τῆς καθαρότητος τοιαῦτά ἐστι καὶ ὀνομάζεται. Τίς οὖν
of-the purity such are and are-named what then
ἐξαρκέσει δύναμις λόγων τῇ τοσαύτῃ χάριτι παρισωθῆναι;
will-suffice power of-words to-the so-great grace to-be-made-equal
Ἢ πῶς οὐ φοβεῖσθαι χρή, μὴ διὰ τῆς τῶν ἐπαίνων
or how not to-fear it-is-needful lest through the of-the praises
σπουδῆς λυμήνηταί τις τὸ μεγαλεῖον τοῦ ἀξιώματος,
zeal should-damage anyone the greatness of-the dignity
ἐλάττω τὴν περὶ αὐτοῦ δόξαν τῆς προειλημμένης τοῖς
less the about it opinion than-the preconceived in-the
ἀκροαταῖς ἐμποιήσας; Οὐκοῦν καλῶς ἔχει, τοὺς μὲν
hearers having-produced therefore well it-is the indeed
ἐγκωμιαστικοὺς λόγους ἐπὶ ταύτης ἐᾷν, ὡς ἀμήχανον
encomiastic words in-the-case-of this to-leave as impossible
ταῖς ὑπερβολαῖς τῆς ὑποθέσεως συνεπᾶραι τὸν λόγον· ὡς
with-the excesses of-the subject to-raise-with the word as
καὶ ἔστι δυνατὸν ἀεὶ μεμνῆσθαι τοῦ θείου χαρίσματος,
also it-is possible always to-remember the divine gift
καὶ ἐπὶ γλώττης ἔχειν τὸ ἀγαθόν, ὅπερ ἴδιον μὲν τῆς
and on tongue to-have the good which proper indeed of-the
ἀσωμάτου φύσεώς ἐστι καὶ ἐξαίρετον· ὑπὸ φιλανθρωπίας δὲ
incorporeal nature is and peculiar by love-to-man but
Θεοῦ, καὶ τοῖς διὰ σαρκὸς καὶ αἵματος λαχοῦσι τὴν
of-God also to-the(-ones) through flesh and blood having-obtained the
ζωὴν ἐχαρίσθη, ἵνα καταβληθεῖσαν τὴν ἀνθρωπίνην φύσιν
life it-was-granted that having-been-cast-down the human nature
ὑπὸ τῆς ἐμπαθοῦς διαθέσεως, ὥσπερ τινὰ χεῖρα τὴν τῆς
by the passionate disposition as some hand the of-the
καθαρότητος μετουσίαν ὀρέξασα, πάλιν ὀρθώσῃ, καὶ
purity participation having-stretched-out again it-may-raise and
πρὸς τὰ ἄνω βλέπειν χειραγωγήσῃ. Διὰ τοῦτο γὰρ
toward the(-things) above to-look may-lead-by-the-hand because-of this for

οἶμαι καὶ τὴν πηγὴν τῆς ἀφθαρσίας, αὐτὸν τὸν Κύριον ἡμῶν
I-think also the spring of-the incorruption himself the Lord our
Ἰησοῦν Χριστόν, μὴ διὰ γάμου εἰσελθεῖν εἰς τὸν κόσμον,
Jesus Christ not through marriage to-enter into the world
ἵνα ἐνδείξηται διὰ τοῦ τρόπου τῆς ἐνανθρωπήσεως τὸ
that he-might-show through the manner of-the incarnation the
μέγα τοῦτο μυστήριον, ὅτι Θεοῦ παρουσίαν καὶ εἴσοδον μόνη
great this mystery that of-God presence and entrance alone
καθαρότης ἱκανή ἐστι δέξασθαι· ἣν ἄλλως οὐκ ἔστι
purity sufficient is to-receive which otherwise not it-is-possible
πρὸς ἀκρίβειαν πᾶσαν κατορθωθῆναι, εἰ μὴ παντελῶς
toward exactness all to-be-achieved if not completely
τις ἑαυτὸν τῶν σαρκικῶν παθημάτων ἀλλοτριώσειεν.
anyone himself from-the fleshly passions should-estrange
Ὅπερ γὰρ ἐν τῇ ἀμιάντῳ Μαρίᾳ γέγονε σωματικῶς,
what for in the undefiled Mary happened bodily
τοῦ πληρώματος τῆς θεότητος ἐν τῷ Χριστῷ διὰ τῆς
the fullness of-the godhead in — Christ through the
Παρθένου ἐκλάμψαντος· τοῦτο καὶ ἐπὶ πάσης ψυχῆς
Virgin having-shone-forth this also in-the-case-of every soul
κατὰ λόγον παρθενευούσης γίνεται. Οὐκέτι σωματικὴν
according-to reason living-as-virgin happens no-longer bodily
ποιουμένου τοῦ Κυρίου τὴν παρουσίαν· οὐ γὰρ γινώσκομεν
making the Lord the presence not for we-know
ἔτι, φησί, κατὰ σάρκα Χριστόν· ἀλλὰ πνευματικῶς
any-longer he-says according-to flesh Christ but spiritually
εἰσοικιζομένου, καὶ τὸν Πατέρα ἑαυτοῦ συνεισάγοντος,
being-made-to-dwell and the Father his bringing-in-with
καθώς φησί που τὸ Εὐαγγέλιον. Ἐπεὶ οὖν τοσαύτη
as says somewhere the Gospel since then so-great
ἐστὶ τῆς παρθενίας ἡ δύναμις, ὡς καὶ ἐν τοῖς οὐρανοῖς

παρὰ τῷ Πατρὶ τῶν πνευμάτων μένειν, καὶ μετὰ τῶν
with the Father of-the spirits to-remain and with the
ὑπερκοσμίων χορεύειν δυνάμεων, καὶ τῆς ἀνθρωπίνης
supercosmic to-dance powers and of-the human
σωτηρίας ἐφάπτεσθαι· τὸν μὲν Θεὸν δι' ἑαυτῆς πρὸς
salvation to-lay-hold-of — indeed God through itself toward
τὴν τοῦ ἀνθρωπίνου βίου κοινωνίαν κατάγουσα, τὸν δὲ
the of-the human life communion bringing-down the but
ἄνθρωπον ἐν ἑαυτῇ πρὸς τὴν τῶν οὐρανίων ἐπιθυμίαν
man in itself toward the of-the heavenly-things desire
πτεροῦσα, καὶ οἱονεὶ σύνδεσμός τις γινομένη τῆς
winging and as-it-were bond some becoming of-the
ἀνθρωπίνης πρὸς τὸν Θεὸν οἰκειώσεως, τὰ τοσοῦτον
human toward — God familiarity the(-things) so-much
ἀλλήλοις ἀφεστῶτα τῇ φύσει, τῇ παρ' ἑαυτῆς μεσιτείᾳ
from-one-another standing-apart in-the nature by-the from itself mediation
εἰς συμφωνίαν ἀνάγουσα, τίς ἂν εὑρεθείη δύναμις λόγων
into concord bringing what — would-be-found power of-words
συνανιοῦσα τῷ θαύματι; Ἀλλ' ἐπειδὴ ἄτοπον παντελῶς
rising-with to-the wonder but since absurd altogether
ἀφώνοις ἢ ἀναισθήτοις ὅμοιον φαίνεσθαι, καὶ τῶν δύο
to-voiceless or insensible like to-appear and of-the two
τὸ ἕτερον, ἢ μὴ ἐπεγνωκέναι δοκεῖν τὰ τῆς
the one either not to-have-recognized to-seem the(-things) of-the
παρθενίας καλά, ἢ ἄπληκτον καὶ ἀκίνητον πρὸς τὴν τῶν
virginity beautiful or unstruck and unmoved toward the of-the
καλῶν αἴσθησιν ἐπιδειχθῆναι· βραχέα τινὰ περὶ αὐτῆς
beautiful-things perception to-be-shown brief some about it
εἰπεῖν, διὰ τὸ δεῖν ἐπὶ πᾶσι πείθεσθαι τῇ ἐξουσίᾳ
to-say because-of the being-needful in all-things to-obey the authority
τοῦ ἐπιτάξαντος ἡμῖν, προεθυμήθημεν. Μηδεὶς δὲ
of-the(-one) having-enjoined us we-were-eager no-one but

τοὺς κομπωδεστέρους παρ᾽ ἡμῶν ἐπιζητείτω τῶν λόγων·
the more-boastful from us let-seek of-the words
ἔστι μὲν γὰρ οὐδὲ βουλομένοις ἡμῖν ἴσως δυνατὸν τὸ
it-is indeed for not-even wishing for-us perhaps possible the
τοιοῦτον, ἀμελετήτοις οὖσι τῆς τοιαύτης λέξεως. Εἰ δὲ καὶ
such unpracticed being of-the such diction if but even
παρῆν τοῦ κομπάζειν ἡ δύναμις, οὐκ ἂν τοῦ κοινῇ
were-present of-the to-boast the power not — than-the in-common
λυσιτελοῦντος τὸ ἐν ὀλίγοις εὐδοκιμῆσαι προετιμήσαμεν.
profitable the in few to-be-well-reputed we-would-have-preferred
Ζητεῖν γὰρ ἐξ ἁπάντων οἶμαι δεῖν τόν γε νοῦν
to-seek for from all I-think it-is-needful the(-one) at-least sense
ἔχοντα, οὐκ ἐξ ὧν ὑπὲρ τοὺς λοιποὺς θαυμασθήσεται,
having not from what-things beyond the others he-will-be-admired
ἀλλ᾽ ἐξ ὧν ἂν καὶ ἑαυτὸν καὶ τοὺς λοιποὺς ὠφελήσειεν.
but from what-things — both himself and the others he-might-benefit

Μνήμη τῶν ἐκ τοῦ γάμου δυσχερῶν, καὶ ἔνδειξις τοῦ τὸν γεγραφότα τὸν λόγον μὴ ἄγαμον εἶναι

3 · THE TROUBLES OF MARRIAGE, AND THE MARRIED WRITER

Gregory wishes he could profit from his own words, but marriage walls him off from virginity's boast, and he knows its goods like an ox treading grain in a muzzle. Even the happiest marriage holds grief: fear of death haunts every joy, childbirth may kill the wife, the husband's absence breeds terror, and widowhood strips the young bride of all. Children bring more fears, by their death or their wickedness. Virginity, always with its incorruptible Bridegroom, knows none of these ills. Not the old tragedies but the law courts and their statutes show what marriage holds.

Εἴθε πως οἷόν τε ἦν κἀμοί τι γενέσθαι πλέον
would-that somehow possible — it-were for-me-also something to-come more
ἐκ τῆς τοιαύτης σπουδῆς· ὡς μετὰ πλείονος ἂν τῆς
from the such zeal as with greater — the
προθυμίας τὸν περὶ τούτων πόνον ἀνεστησάμην, εἴπερ
eagerness the about these labor I-would-have-undertaken if-indeed
κατὰ τὸ γεγραμμένον, ἐπ' ἐλπίδι τοῦ μετασχεῖν
according-to the(-thing) written in hope of-the to-partake
τῶν ἐκ τοῦ ἀρότρου καὶ ἀλοητοῦ γεννημάτων,
of-the(-things) from the plow and threshing produce
ἐφιλοπόνουν τὸν λόγον. Νυνὶ δὲ τρόπον τινὰ ματαία καὶ
I-labored-at the treatise now but in-manner some vain and
ἀνόνητος ἡ γνῶσις ἐμοὶ τῶν τῆς παρθενίας καλῶν, ὡς
useless the knowledge for-me of-the of-the virginity beautiful-things as
τῷ βοΐ τὰ γεννήματα, τῷ μετὰ κημῶν ἐπιστρεφομένῳ
for-the ox the produce for-the(-one) with muzzles turning-round
τὴν ἅλωνα· ἢ ὡς τῷ διψῶντι τὸ ἀποῤῥέον τῶν
the threshing-floor or as for-the(-one) thirsting the flowing-down from-the
κρημνῶν ὕδωρ, ὅταν ἀνέφικτον ᾖ. Μακάριοι δὲ οἷς
cliffs water when unreachable it-be blessed but for-whom

ἐν ἐξουσίᾳ τῶν βελτιόνων ἐστὶν ἡ αἵρεσις, καὶ οὐκ
in authority of-the better-things is the choice and not
ἀπετειχίσθησαν τῷ κοινῷ προληφθέντες βίῳ, καθάπερ
were-walled-off by-the common having-been-preoccupied life as
ἡμεῖς οἷόν τινι χάσματι πρὸς τὸ τῆς παρθενίας καύχημα
we as-it-were by-some chasm from the of-the virginity boast
διειργόμεθα, πρὸς ἣν οὐκ ἔστιν ἐπανελθεῖν ἔτι
are-separated to which not it-is-possible to-return any-longer
τὸν ἅπαξ τῷ κοσμικῷ βίῳ τὸ ἴχνος ἐναπερείσαντα.
the(-one) once in-the worldly life the footprint having-planted
Διὰ τοῦτο θεαταὶ μόνον τῶν ἀλλοτρίων ἐσμὲν καλῶν
because-of this spectators only of-the others' are beautiful-things
ἡμεῖς, καὶ μάρτυρες τῆς ἑκατέρων μακαριότητος· κἄν
we and witnesses of-the of-each blessedness and-if
τι δεξιὸν περὶ παρθενίας νοήσωμεν, ταὐτὸν πάσχομεν
something right about virginity we-conceive the-same we-suffer
τοῖς ὀψοποιοῖς τε καὶ ὑπηρέταις, οἳ τὴν ἐπιτραπέζιον
with-the cooks both and servants who the table
τῶν πλουσίων τρυφὴν ἄλλοις ἡδύνουσιν, οὐδενὸς αὐτοὶ
of-the rich luxury for-others sweeten in-nothing themselves
τῶν παρεσκευασμένων μετέχοντες· ὡς μακάριόν γε
of-the(-things) prepared partaking how blessed indeed
ἂν ἦν, εἰ μὴ οὕτως εἶχε, μηδὲ τῇ ὑστεροβουλίᾳ τὸ
— it-would-be if not so it-were nor by-the afterthought the
καλὸν ἐγνωρίσαμεν. Νυνὶ δὲ ζηλωτοὶ μὲν ὄντως, καὶ πάσης
beautiful we-recognized now but enviable indeed truly and of-every
εὐχῆς καὶ ἐπιθυμίας ἐπέκεινα πράττοντες, οἷς ἡ δύναμις
prayer and desire beyond faring to-whom the power
τῶν ἀπολαύσεων τῶν ἀγαθῶν τούτων οὐκ ἀποκέκλεισται.
of-the enjoyments of-the good-things these not has-been-shut-off
Ἡμεῖς δὲ καθάπερ οἱ τῇ πολιτείᾳ τοῦ πλούτου
we but as the(-ones) with-the way-of-life of-the wealth

τὴν ἑαυτῶν παραθεωροῦντες πενίαν, πλεῖον ἀνιῶνται τοῖς
the their-own comparing poverty more are-grieved at-the
παροῦσι καὶ δυσχεραίνουσι· τὸν αὐτὸν τρόπον ὅσῳ
present-things and are-vexed the same manner by-as-much-as
πλέον τὸν τῆς παρθενίας πλοῦτον ἐπιγινώσκομεν, τοσούτῳ
more the of-the virginity wealth we-recognize by-so-much
μᾶλλον οἰκτείρομεν τὸν ἄλλον βίον, διὰ τῆς τῶν
more we-pity the other life through the of-the
βελτιόνων παρεξετάσεως, οἷον καὶ ὅσον πτωχεύει
better comparison what-kind and how-much it-is-poor
καταμανθάνοντες. Οὐ λέγω μόνον ὅσα ὕστερον τοῖς
learning not I-speak-of only as-many-as later for-the(-ones)
κατ᾽ ἀρετὴν βεβιωκόσιν ἀπόκειται, ἀλλὰ καὶ ὅσα
according-to virtue having-lived are-laid-up but also as-many-as
τῆς παρούσης ἐστὶ ζωῆς. Εἰ γάρ τις ἀκριβῶς ἐξετάζειν
of-the present are life if for anyone exactly to-examine
ἐθέλοι τοῦ βίου τούτου τὸ πρὸς τὴν παρθενίαν διάφορον,
should-wish of-the life this the toward the virginity difference
τοσαύτην εὑρήσει τὴν διαφοράν, ὅση σχεδὸν πρὸς τὰ
so-great he-will-find the difference as-great-as nearly toward the
οὐράνια τῶν ἐπιγείων ἐστίν· ἔξεστι δὲ γνῶναι τὴν
heavenly-things of-the earthly-things is it-is-possible but to-know the
τοῦ λόγου ἀλήθειαν, αὐτὰ διασκεψαμένους τὰ πράγματα.
of-the word truth themselves having-examined the things
Πόθεν δέ τις ἀρξάμενος ἐπαξίως ἂν τὸν βαρὺν τοῦτον
whence but anyone having-begun worthily — the heavy this
ἐκτραγῳδήσειεν; Ἢ πῶς ἄν τις τὰ κοινὰ τοῦ βίου ὑπ᾽
would-recite-as-tragedy or how — anyone the common of-the life under
ὄψιν ἀγάγοι κακά, ἃ πάντες μὲν οἱ ἄνθρωποι διὰ τῆς
sight would-bring evils which all indeed the men through the
πείρας γινώσκουσιν, οὐκ οἶδα δὲ ὅπως ἐν αὐτοῖς τοῖς
experience know not I-know but how in them the(-ones)

εἰδόσιν αὐτὰ λανθάνειν ἡ φύσις ἐμηχανήσατο, ἑκουσίως
knowing them to-escape-notice the nature contrived willingly
τῶν ἀνθρώπων ἐν οἷς εἰσιν ἀγνοούντων; Βούλει ἀπὸ
the men in what they-are being-ignorant do-you-wish from
τῶν ἡδίστων ἀρξώμεθα; Οὐκοῦν τὸ κεφάλαιον τῶν
the sweetest let-us-begin therefore the chief of-the(-things)
ἐν τῷ γάμῳ σπουδαζομένων τὸ κεχαρισμένης ἐπιτυχεῖν
in the marriage pursued the gracious to-attain
ἐστι συμβιώσεως. Καὶ δὴ ταῦθ' οὕτως ἐχέτω, καὶ
is living-together and indeed these-things so let-be and
διὰ πάντων μακαριστὸς ὑπογεγράφθω ὁ γάμος· γένος
through all blessed let-be-outlined the marriage family
εὐδόκιμον, πλοῦτος ἀρκῶν, ἡλικία συμβαίνουσα, τῆς ὥρας
well-reputed wealth sufficient age agreeing of-the prime
αὐτὸ τὸ ἄνθος, φίλτρον πολύ, καὶ οἷόν ἐστιν ἐν ἑκατέρῳ
itself the flower affection much and as-much-as is in each
ὑπὲρ τοῦ ἄλλου ὑπονοεῖσθαι· γλυκεῖα ἐκείνη φιλονεικία τὸ
for the other to-be-suspected sweet that rivalry the
ἑαυτὸν βούλεσθαι νικᾷν ἐν τῇ ἀγάπῃ ἑκάτερον. Προσέστω
himself to-wish to-conquer in the love each let-be-added
τούτοις δόξα καὶ δυναστεία καὶ περιφάνεια, καὶ πᾶν ὅ τι
to-these glory and power and renown and all what ever
βούλει. Ἀλλ' ὅρα καὶ τὴν τοῖς ἀπηριθμημένοις χρηστοῖς
you-wish but see also the with-the enumerated good-things
ἀναγκαίως συμπαροῦσαν καὶ ὑποσμύχουσαν λύπην.
necessarily being-present-with and smoldering grief
Οὐ λέγω τὸν τοῖς εὐδοκιμοῦσιν ἐπιφυόμενον φθόνον,
not I-speak-of the on-the(-ones) well-reputed growing envy
καὶ τό, πρόχειρον εἶναι πρὸς ἐπιβουλὴν τῶν ἀνθρώπων
and the ready to-be for plot of-the men
τὸ δοκοῦν εὐημερεῖν ἐν τῷ βίῳ, καὶ ὅτι πᾶς ὁ
the(-thing) seeming to-prosper in the life and that every the(-one)

μὴ ἰσομοιρῶν ἐν τῷ κρείττονι, φυσικόν τι πρὸς
not having-equal-share in the better natural something toward
τὸν ὑπερέχοντα τὸ μῖσος ἔχει· καὶ διὰ τοῦτο
the(-one) excelling the hatred has and because-of this
δι' ὑποψίας τοῖς δοκοῦσιν εὐθυμεῖν ὁ βίος ἐστίν,
through suspicion for-the(-ones) seeming to-be-cheerful the life is
πλείω τῶν ἡδέων τὰ λυπηρὰ παρεχόμενος. Παρίημι
more than-the pleasant the grievous-things providing I-pass-by
ταῦτα, ὡς καὶ τοῦ φθόνου κατ' ἐκείνων ἀργοῦντος.
these-things as also the envy against them being-idle
Καίτοι γε οὐ ῥᾴδιόν ἐστιν εὑρεῖν ὅτῳ τὰ δύο κατὰ
and-yet indeed not easy is to-find to-whom the two at
ταὐτὸν συνηνέχθη, καὶ ὑπὲρ τοὺς πολλοὺς εὐδαιμονεῖν,
the-same-time came-together both beyond the many to-prosper
καὶ διαφεύγειν τὸν φθόνον. Πλὴν ἀλλὰ πάντων τῶν
and to-escape the envy however but of-all the
τοιούτων ἐλευθέραν αὐτῶν τὴν ζωήν, εἰ δοκεῖ, ὑποθώμεθα.
such-things free their the life if it-seems let-us-suppose
Καὶ ἴδωμεν εἰ δυνατόν ἐστιν εὐθυμεῖν τοὺς ἐν τοιαύτῃ
and let-us-see if possible it-is to-be-cheerful the(-ones) in such
διάγοντας εὐημερίᾳ. Τί οὖν ἔσται τὸ λυποῦν, ἐρεῖς,
living prosperity what then will-be the(-thing) grieving you-will-say
εἰ μηδὲ ὁ φθόνος τῶν εὐδαιμονούντων καθάψεται;
if not-even the envy of-the(-ones) prospering will-touch
Τοῦτο αὐτό φημι τὸ διὰ πάντων αὐτοῖς τὸν βίον
this itself I-say the through all for-them the life
καταγλυκαίνεσθαι, τοῦτό ἐστι τὸ τῆς λύπης ὑπέκκαυμα.
being-sweetened this is the of-the grief kindling
Ἕως γὰρ ἄνθρωποι ὦσι, τὸ θνητὸν τοῦτο καὶ ἐπίκηρον
as-long-as for men they-be the mortal this and perishable
πρᾶγμα, καὶ τοὺς τάφους τῶν ἀφ' ὧν γεγόνασι
thing and the tombs of-the(-ones) from whom they-have-come

βλέπωσιν, ἀχώριστον ἔχουσι καὶ συνεζευγμένην τῇ ζωῇ
they-see inseparable they-have and yoked with-the life
τὴν λύπην, εἰ καὶ μικρὸν μετέχοιεν τοῦ λογίζεσθαι.
the grief if even little they-should-partake of-the to-reason
Ἡ γὰρ διηνεκὴς τοῦ θανάτου προσδοκία, οὐκ ἐπὶ ῥητοῖς
the for continual of-the death expectation not by stated
τισι σημείοις ἐπιγινωσκομένη, ἀλλὰ διὰ τὴν ἀδηλίαν
some signs being-recognized but because-of the uncertainty
τοῦ μέλλοντος, πάντοτε ὡς ἐνεστηκυῖα φοβοῦσα, τὴν
of-the future always as present frightening the
ἀεὶ παροῦσαν εὐφροσύνην συγχεῖ, τῷ φόβῳ τῶν
always present gladness confounds by-the fear of-the(-things)
ἐλπιζομένων τὰς εὐθυμίας ἐπιταράσσουσα. Εἰ γὰρ ἦν
expected the cheerfulnesses troubling if for it-were
δυνατὸν πρὸ τῆς πείρας τὰ τῶν πεπειραμένων
possible before the experience the(-things) of-the(-ones) having-experienced
μαθεῖν, εἰ γὰρ ἐξῆν δι᾽ ἄλλης τινὸς ἐπινοίας ἐντὸς
to-learn if for it-were-possible through other some device within
τοῦ βίου γενόμενον, ἐποπτεῦσαι τὰ πράγματα· πόσος
the life having-come to-observe the things how-great
ἂν ἦν ὁ δρόμος τῶν αὐτομολούντων πρὸς τὴν
— would-be the race of-the(-ones) deserting to the
παρθενίαν ἀπὸ τοῦ γάμου! πόση φυλακὴ καὶ προμήθεια
virginity from the marriage how-great guard and forethought
τοῦ μήποτε ἀφύκτοις πάγαις ἐγκρατηθῆναι, ὧν τὴν
of-the never in-inescapable snares to-be-held of-which the
δυσκολίαν οὐκ ἔστιν ἄλλως δι᾽ ἀκριβείας μαθεῖν,
difficulty not it-is-possible otherwise through exactness to-learn
μὴ ἐντὸς τῶν ἀρκύων γενόμενον! Εἶδες γὰρ ἄν,
not within the nets having-come you-would-have-seen for —
εἴπερ ἰδεῖν ἀκινδύνως ἐξῆν, πολλὴν τῶν ἐναντίων
if-indeed to-see without-danger it-were-possible much of-the opposites

τὴν σύγχυσιν, γέλωτα δακρύοις ἐμπεφυρμένον, καὶ λύπην
the confusion laughter with-tears kneaded and grief
εὐφροσύναις συμμεμιγμένην, πανταχοῦ τοῖς γινομένοις
with-gladnesses mixed everywhere with-the(-things) happening
συμπαρόντα διὰ τῶν ἐλπίδων τὸν θάνατον, καὶ ἑκάστου
being-present-with through the hopes the death and each
τῶν καθ' ἡδονὴν ἐφαπτόμενον. Ὅταν ἴδῃ ὁ
of-the(-things) according-to pleasure laying-hold-of when sees the
νυμφίος τὸ ἀγαπώμενον πρόσωπον, εὐθὺς πάντως καὶ
bridegroom the beloved face at-once altogether also
ὁ φόβος τοῦ χωρισμοῦ συνεισέρχεται· κἂν ἀκούσῃ τῆς
the fear of-the separation enters-with and-if he-hear the
ἡδίστης φωνῆς, καὶ τὸ μὴ ἀκούσεσθαί ποτε ἐννοήσει· καὶ
sweetest voice also the not going-to-hear ever he-will-think and
ὅταν εὐφρανθῇ τῇ θεωρίᾳ τοῦ κάλλους, τότε μάλιστα
when he-is-gladdened by-the contemplation of-the beauty then most
φρίττει τὴν προσδοκίαν τοῦ πένθους· ἐὰν τὰ τίμια
he-shudders-at the expectation of-the mourning if the(-things) precious
τῇ νεότητι, καὶ ὅσα παρὰ τῶν ἀνοήτων σπουδάζεται
to-the youth and as-many-as by the senseless are-pursued
κατανοήσῃ· οἷον ὀφθαλμὸν τοῖς βλεφάροις λάμποντα, καὶ
he-should-perceive as eye with-the eyelids shining and
ὀφρὺν περικεχυμένην τῷ ὄμματι, καὶ παρειὰν ἐν ἡδεῖ καὶ
brow poured-round the eye and cheek in sweet and
γλαφυρῷ μειδιάματι, καὶ χεῖλος ἐπηνθισμένον τῷ φυσικῷ
polished smile and lip made-to-bloom with-the natural
ἐρυθήματι, κόμην τε χρυσομιγῆ καὶ βαθεῖαν τῷ ποικίλῳ
redness hair both gold-mingled and deep with-the varied
τῆς ἐμπλοκῆς τῇ κεφαλῇ περιστίλβουσαν, καὶ πᾶσαν τὴν
of-the plaiting on-the head shining-round and all the
πρόσκαιρον ἀγλαΐαν ἐκείνην, τότε πάντως, κἂν μικρὸν
temporary splendor that then altogether even-if little

αὐτῷ προσῇ τοῦ λογίζεσθαι, κἀκεῖνο τῇ ψυχῇ ἐννοεῖ, ὅτι
to-him be-present of-the to-reason also-that in-the soul he-thinks that
τοῦτο τὸ κάλλος οἰχήσεταί ποτε διαῤῥύεν, καὶ εἰς τὸ μὴ
this the beauty will-depart once having-flowed-away and into the not
ὂν περιστήσεται, ὀστέα βδελυρά τε καὶ εἰδεχθῆ ἀντὶ τοῦ
being will-turn bones loathsome both and hideous instead-of the
νῦν φαινομένου γενόμενον, οὐδὲν ἴχνος, οὐδὲν μνημόσυνον,
now appearing having-become no trace no memorial
οὐδὲν λείψανον τοῦ παρόντος ἄνθους ἐπιφερόμενον.
no remnant of-the present bloom bearing
Εἰ ταῦτα καὶ τὰ τοιαῦτα διανοοῖτο, ἆρα ἐν εὐφροσύνῃ
if these-things and the such-things he-should-think — in gladness
βιώσεται; ἆρα πιστεύσει τοῖς παροῦσιν αὐτῷ χρηστοῖς,
will-be-live — will-he-trust the present to-him good-things
ὡς ἀεὶ παραμένουσιν; Ἢ δῆλον ἐκ τούτων, ὅτι καθάπερ
as always remaining or clear from these-things that as
ἐν ταῖς τῶν ὀνείρων ἀπάταις ἀμηχανήσει, καὶ ἀπίστως
in the of-the dreams deceits he-will-be-at-a-loss and distrustfully
πρὸς τὸν βίον ἕξει, ὡς ἀλλοτρίοις προσέχων τοῖς
toward the life he-will-be as to-alien attending the(-things)
φαινομένοις. Συνιεῖς πάντως, εἴπερ ἔχεις τινὰ τῶν
appearing you-understand altogether if-indeed you-have some of-the
ὄντων ἐπίσκεψιν, ὅτι οὐδὲν τῶν ἐν τῷ βίῳ
things-that-are consideration that nothing of-the(-things) in the life
φαινομένων, ὡς ἔστι φαίνεται, ἀλλὰ κατὰ τὰς ἀπατηλὰς
appearing as it-is appears but according-to the deceptive
φαντασίας, ἕτερα ἀνθ᾽ ἑτέρων ἡμῖν προδείκνυσι,
fantasies other-things instead-of others to-us it-shows
διαπαίζων τοὺς ἐλπίσι πρὸς αὐτὸν κεχηνότας· καὶ διὰ
mocking the(-ones) with-hopes toward it gaping and through
τῆς τῶν φαινομένων πλάνης συγκαλύπτων αὐτὸς
the of-the(-things) appearing error concealing itself

ἑαυτόν, ἕως ἂν ἀθρόως ἐν ταῖς μεταβολαῖς ἐλεγχθείη ἄλλο
itself until — all-at-once in the changes it-be-exposed other
τι ὂν παρὰ τὴν ἀνθρωπίνην ἐλπίδα, τὴν διὰ
something being contrary-to the human hope the(-one) through
τῆς ἀπάτης τοῖς ἀνοήτοις ἐγγινομένην. Ποίας οὖν ἡδονῆς
the deceit in-the senseless arising of-what-kind then pleasure
ἄξια τῷ ταῦτα λογιζομένῳ φανεῖται τὰ ἡδέα
worthy to-the(-one) these-things reasoning will-appear the pleasant-things
τοῦ βίου; Πότε αἰσθήσεται κατὰ ἀλήθειαν ὁ ταῦτα
of-the life when will-be-perceive according-to truth the(-one) these-things
φρονῶν, καὶ τοῖς δοκοῦσιν αὐτῷ παρεῖναι χρηστοῖς
minding and in-the(-things) seeming to-him to-be-present good
εὐφρανθήσεται; Οὐκ ἀεὶ τῷ φόβῳ τῆς μεταβολῆς
will-be-be-gladdened not always by-the fear of-the change
ταραττόμενος, ἀνεπαίσθητον ἔχει τὴν τῶν παρόντων
being-troubled imperceptible has-he the of-the present-things
ἀπόλαυσιν; Ἐῶ σημεῖα, καὶ ὀνείρους, καὶ κληδόνας,
enjoyment I-leave-aside signs and dreams and omens
καὶ τοὺς τοιούτους λήρους, πάντα ὑπὸ ματαίας συνηθείας
and the such nonsense all by vain custom
παρατηρούμενα, καὶ πρὸς τὸ χεῖρον ὑποπτευόμενα. Ἀλλὰ
observed and toward the worse suspected but
καιρὸς ὠδίνων τὴν παῖδα καταλαμβάνει· καὶ οὐχὶ παιδὸς
time of-travail the girl overtakes and not of-child
γένεσις, ἀλλὰ θανάτου παρουσία τὸ πρᾶγμα νομίζεται, καὶ
birth but of-death presence the thing is-thought and
θάνατος τῆς κυοφορούσης διὰ τοῦ τόκου ἐλπίζεται·
death of-the(-one) pregnant through the childbirth is-expected
πολλάκις δὲ καὶ τῆς πονηρᾶς ταύτης μαντείας οὐ
often and also in-the wicked this divination not
διεψεύσθησαν, ἀλλὰ πρὶν ἑορτάσαι τὴν γενέθλιον ἑορτήν,
they-were-deceived but before celebrating the birthday feast

πρίν τινος τῶν κατ᾽ ἐλπίδα ἀγαθῶν ἀπογεύσασθαι,
before any of-the according-to hope good-things having-tasted
εὐθὺς εἰς θρῆνον τὴν χαρὰν μεθηρμόσαντο. Ἔτι τῷ
at-once into lament the joy they-changed still with-the
φίλτρῳ ζέοντες, ἔτι τοῖς πόθοις ἀκμάζοντες, οὔπω τῶν
affection boiling still in-the longings blooming not-yet of-the(-things)
κατὰ τὸν βίον ἡδίστων λαβόντες τὴν αἴσθησιν, ὥσπερ
according-to the life sweetest having-taken the perception as
τινὸς ἐνυπνίου φαντασίᾳ, πάντων εὐθέως τῶν ἐν χερσὶν
of-some dream by-the-fantasy from-all at-once the(-things) in hands
ἐχωρίσθησαν. Τὰ δὲ ἐπὶ τούτοις οἷα; Πορθεῖται
they-were-separated the(-things) but upon these what-kind is-sacked
μὲν ὑπὸ τῶν οἰκείων ὡς ὑπὸ πολεμίων ὁ θάλαμος·
indeed by the household as by enemies the bridal-chamber
καλλωπίζεται δὲ ἀντὶ τοῦ θαλάμου διὰ τοῦ τάφου
is-adorned but instead-of the bridal-chamber through the tomb
ὁ θάνατος· ἀνακλήσεις ἐπὶ τούτων ἀνόνητοι, καὶ μάταιοι
the death callings-back over these useless and vain
χειρῶν κρότοι· ἀναμνήσεις τοῦ προτέρου βίου, κατάραι
of-hands beatings rememberings of-the former life curses
κατὰ τῶν συμβουλευσάντων τὸν γάμον, μέμψεις κατὰ
against the(-ones) having-counseled the marriage blamings against
τῶν μὴ κωλυσάντων φίλων· ἐν αἰτίᾳ πολλῇ οἱ γονεῖς, ἄν
the not having-prevented friends in blame much the parents whether
τε περιόντες τύχωσιν, ἄν τε καὶ μή· ἀγανάκτησις κατὰ
— surviving they-happen or — also not indignation against
τῆς ἀνθρωπίνης ζωῆς, κατηγορία πάσης τῆς φύσεως, κατ᾽
the human life accusation of-all the nature against
αὐτῆς τῆς θείας οἰκονομίας μέμψεις πολλαὶ καὶ ἐγκλήματα,
itself the divine dispensation blamings many and charges
μάχη πρὸς ἑαυτόν, πόλεμος κατὰ τῶν νουθετούντων·
battle with himself war against the(-ones) admonishing

οὐδεὶς τῶν ἀτοπωτάτων ὄκνος, οὔτε ῥημάτων, οὔτε
no of-the most-outrageous-things hesitation neither of-words nor
πραγμάτων. Πολλάκις δέ, οἷς ἂν ὑπερσχῇ τὸ πάθος, καὶ
of-deeds often but whom — prevails-over the passion and
περισσοτέρως καταποθῇ ὁ λογισμὸς ὑπὸ τῆς λύπης, εἰς
more-excessively is-swallowed-up the reasoning by the grief into
πικρότερον πέρας ἡ τραγῳδία κατέληξεν, οὐδὲ τοῦ
more-bitter end the tragedy ended not-even the(-one)
περιλειφθέντος ἐπιβιῶναι τῇ συμφορᾷ δυνηθέντος.
left-behind to-survive the misfortune having-been-able
Ἀλλ' οὐχὶ τοῦτο· ὑποθώμεθα δὲ τὰ βελτίω, ὅτι καὶ διέφυγε
but not this let-us-suppose but the better-things that also she-escaped
τῶν ὠδίνων τὸν κίνδυνον, καὶ γέγονεν αὐτοῖς παῖς, αὐτὸ
of-the travails the danger and there-has-been to-them child itself
τῆς ὥρας τῶν γεννησαμένων τὸ ἀπεικόνισμα. Τί οὖν;
of-the bloom of-the(-ones) having-begotten the image what then
ἠλαττώθη διὰ τούτων ἡ τοῦ λυπεῖσθαι ὑπόθεσις; ἢ οὐχὶ
was-diminished through these the of-the to-grieve occasion or not
καὶ προσθήκας μᾶλλον ἐδέξατο; Τούς τε γὰρ προτέρους
also additions rather did-it-receive the both for former
ἔχουσι φόβους, καὶ τὸν ὑπὲρ τοῦ τέκνου προσέλαβον, μή
they-have fears and the(-one) for the child they-took-on-besides lest
τι συμβῇ περὶ τὴν ἀνατροφὴν ἀηδές· μή τις πονηρὰ
anything happen about the rearing unpleasant lest some wicked
συντυχία· μή τι σύμπτωμα τῶν ἀβουλήτων, ἢ πάθος,
mishap lest some accident of-the unwished-things or suffering
ἢ πήρωσιν, ἢ κίνδυνον ἐπαγάγῃ τινά. Καὶ ταῦτα μὲν
or maiming or danger bring any and these-things indeed
ἀμφοτέρων κοινά· τὰ δὲ τῆς γαμετῆς ἴδια, τίς ἂν
of-both common the(-things) but of-the wife own who —
ἐξαριθμήσαιτο; Ἵνα γὰρ ἐάσωμεν τὰ πρόχειρα ταῦτα
would-enumerate that for we-may-leave-aside the ready these

καὶ πᾶσι γνώριμα, τὸ τῆς κυοφορίας ἄχθος, τὸν ἐν ταῖς
and to-all known the of-the pregnancy burden the in the
ὠδῖσι κίνδυνον, τὸν ὑπὲρ τῆς ἀνατροφῆς πόνον, τὸ τὴν
travails danger the for the rearing toil the the
καρδίαν αὐτῆς τῷ τεχθέντι συναποσχίζεσθαι· κἂν
heart her with-the(-one) born to-be-torn-off-together and-if
πλειόνων γενήσηται μήτηρ, εἰς τοσαῦτα κατατέμνεσθαι
of-more she-become mother into so-many to-be-cut-up
αὐτῆς τὴν ψυχήν, ὅσος ὁ ἀριθμὸς τῶν τέκνων ἐστίν· τὸ
her the soul as-great-as the number of-the children is the
τῶν συμβαινόντων ἐκείνοις τὴν αἴσθησιν ἐν τοῖς ἰδίοις
of-the(-things) happening to-them the perception in the own
σπλάγχνοις δέχεσθαι· καὶ πάντα τὰ τοιαῦτα γνώριμα πᾶσιν
bowels to-receive and all the such-things known to-all
ὄντα τί ἄν τις λέγοι; Ἀλλ' ἐπειδὴ κατὰ τὸ θεῖον
being what — anyone would-say but since according-to the divine
λόγιον, οὐχ ἑαυτῆς ἐστι κυρία, πρὸς δὲ τὸν διὰ τοῦ
oracle not of-herself she-is mistress toward but the(-one) through the
γάμου κυριεύσαντα τὴν ἀποστροφὴν ἔχει, κἂν πρὸς ὀλίγον
marriage having-become-lord the turning she-has even-if for little
αὐτοῦ μονωθῇ, ὡς τῆς κεφαλῆς διεζευγμένη, οὐ φέρει
from-him she-be-left-alone as from-the head having-been-separated not she-bears
τὴν μόνωσιν, ἀλλὰ μελέτην τινὰ τῆς ἐν τῇ χηρείᾳ ζωῆς,
the solitude but rehearsal some of-the in the widowhood life
καὶ τὴν ἐν ὀλίγῳ τοῦ ἀνδρὸς ἀναχώρησιν οἰωνίζεται. Εὐθὺς
and the in little-time of-the husband departure she-takes-as-omen at-once
ὁ φόβος ἀπόγνωσιν ἐμποιεῖ τῶν χρηστοτέρων ἐλπίδων.
the fear despair produces of-the better hopes
Καὶ διὰ τοῦτο ὁ μὲν ὀφθαλμὸς περὶ τὴν εἴσοδον
and because-of this the indeed eye on the entrance
πέπηγε, γέμων ταραχῆς καὶ πτοήσεως· ἡ δὲ ἀκοὴ τοὺς
is-fixed full of-trouble and terror the but hearing the(-ones)

ὑπολαλοῦντας περιεργάζεται· συγκόπτεται δὲ ἡ καρδία
whispering busies-itself-with is-cut-to-pieces but the heart
μαστιζομένη τῷ φόβῳ, καὶ πρίν τι προσαγγελθῆναι
being-scourged by-the fear even before anything to-be-announced
νεώτερον· καὶ μόνον ψόφος πρὸ τῶν θυρῶν ἢ ὑπονοηθείς,
new and only noise before the doors either suspected
ἢ γενόμενος, ὥσπερ τις ἄγγελος κακῶν ἐξαίφνης τὴν
or happened as some messenger of-evils suddenly the
ψυχὴν διεκλόνησεν. Καὶ τὰ μὲν ἔξω, δεξιὰ τυχὸν καὶ
soul shook-violently and the(-things) indeed outside favorable perhaps and
οὐδενὸς ἄξια φόβου· φθάνει δὲ ἡ λειποθυμία τὴν ἀγγελίαν,
of-nothing worthy of-fear anticipates but the fainting the message
καὶ ἀναστρέφει πρὸς τὸ ἐναντίον ἀπὸ τῶν ἡδέων τὴν
and turns to the opposite from the pleasant-things the
γνώμην. Τοιοῦτος τῶν εὐθυμούντων ὁ βίος, οὐ πάνυ γε
mind such of-the(-ones) being-cheerful the life not very indeed
ἄξιος· οὐ γὰρ τῇ ἐλευθερίᾳ τῆς παρθενίας ἀντεξετάζεται.
worthy not for with-the freedom of-the virginity it-is-compared
Καίτοι πολλὰ τῶν σκυθρωποτέρων ὁ λόγος ἐπιτρέχων
and-yet many of-the gloomier-things the treatise running-over
κατέλιπε. Πολλάκις γὰρ κἀκείνη ἔτι νέα τῷ σώματι, ἔτι
has-left-out often for she-also still young in-the body still
τῇ νυμφικῇ ἀγλαΐᾳ στίλβουσα, ἔτι τυχὸν ἐρυθριῶσα τοῦ
with-the bridal splendor shining still perhaps blushing-at of-the
νυμφίου τὴν εἴσοδον, καὶ μετὰ αἰδοῦς ὑποβλέπουσα, ὅτε
bridegroom the entrance and with modesty looking-up-from-under when
καὶ θερμοτέρους εἶναι συμβαίνει τοὺς πόθους, ὑπ᾽ αἰσχύνης
also warmer to-be it-happens the longings by shame
πρὸς τὸ ἐκφανῆναι κωλυομένους, ἐξαίφνης χήρα, καὶ
from the to-be-shown being-prevented suddenly widow and
ἀθλία, καὶ ἔρημος, καὶ πάντα τὰ φευκτὰ μεταλαμβάνει
wretched and desolate and all the hateful she-takes-in-exchange

ὀνόματα, καὶ τὴν τέως λαμπρὰν καὶ λευχείμονα
names and the(-one) hitherto bright and white-robed
καὶ περίβλεπτον, ἀθρόως καταμελαίνει προσπεσοῦσα ἡ
and admired all-at-once blackens having-fallen-upon the
συμφορά, καὶ περιβάλλει τῷ πένθει, τὸν νυμφικὸν
misfortune and clothes with-the mourning the bridal
κόσμον ἀποσυλήσασα· εἶτα ζόφος ἀντὶ τῆς ἐν παστάδι
adornment having-stripped-off then gloom instead-of the in bridal-chamber
λαμπρότητος, καὶ θρηνῳδοὶ τὰς οἰμωγὰς ἐπιτείνουσαι,
brightness and dirge-women the wailings intensifying
καὶ μῖσος κατὰ τῶν ἐπιχειρούντων πραΰνειν τὰ πάθη,
and hatred against the(-ones) attempting to-soften the sufferings
ἀπέχθεια σιτίων, τηκεδὼν σώματος, κατήφεια ψυχῆς,
loathing of-food wasting of-body dejection of-soul
ἐπιθυμία θανάτου, καὶ μέχρις αὐτοῦ τοῦ θανάτου πολλάκις
desire of-death and as-far-as itself the death often
ἰσχύσασα. Ἐὰν δὲ καὶ παυσθῇ πως τῷ χρόνῳ ἡ
having-prevailed if but also it-cease somehow with-the time the
συμφορά, πάλιν ἄλλη συμφορά, εἴτε ὑπάρχει τέκνα, εἴτε
misfortune again another misfortune whether there-are children or
καὶ μή. Ὄντα μὲν γάρ, ὀρφανὰ πάντως ἐστί, καὶ διὰ
also not being indeed for orphans altogether they-are and because-of
τοῦτο ἐλεεινά, καὶ δι' αὐτῶν τὸ πάθος ἀνακαινίζοντα·
this pitiable and through them the suffering renewing
εἰ δὲ μὴ εἴη, πρόῤῥιζον οἴχεται τὸ τοῦ κατοιχομένου
if but not they-be root-and-all departs the of-the departed
μνημόσυνον, καὶ τὸ κακὸν ὑπὲρ παραμυθίαν ἐστίν. Ἐῶ
memorial and the evil beyond consolation is I-leave-aside
τὰ ἄλλα τὰ τῆς χηρείας ἴδια. Τίς γὰρ ἂν πάντα μετὰ
the other-things the(-things) of-the widowhood proper who for — all with
ἀκριβείας ἀπαριθμήσαιτο; τοὺς ἐχθρούς, τοὺς οἰκείους· τοὺς
exactness would-enumerate the enemies the kinsmen the(-ones)

μὲν ἐπεμβαίνοντας τῇ συμφορᾷ· τοὺς δὲ φαιδρυνομένους
indeed trampling-upon the misfortune the(-ones) but brightening
τῇ ἐρημίᾳ, καὶ μεθ' ἡδονῆς βλέποντας ἐν πικρῷ
at-the desolation and with pleasure seeing with bitter
ὀφθαλμῷ τὸν διαπίπτοντα οἶκον, καὶ τοὺς καταφρονοῦντας
eye the falling-to-pieces house and the despising
οἰκέτας, καὶ πάντα τὰ ἄλλα ὅσα πάρεστιν ἀφθόνως
servants and all the other-things as-many-as it-is-possible abundantly
ἐπὶ τῶν τοιούτων δυστυχημάτων ὁρᾶν· δι' ὧν αἱ
in-the-case-of the such misfortunes to-see through which the
πολλαὶ καὶ δεύτεραι ὑπ' ἀνάγκης πρὸς τὴν τῶν ὁμοίων
many also second by necessity to the of-the like
κακῶν παρεβάλλοντο πεῖραν, οὐκ ἐνεγκοῦσαι τῶν
evils exposed-themselves experience not having-borne of-the(-ones)
ἐπεγγελώντων τὴν πικρίαν, ὥσπερ ἀμυνόμεναι τοὺς
mocking the bitterness as avenging-themselves-on the(-ones)
λυπήσαντας τοῖς ἰδίοις κακοῖς· πολλαὶ δὲ τῇ μνήμῃ
having-grieved-them with-the own evils many but by-the memory
τῶν συμβεβηκότων, πᾶν ὁτιοῦν ὑπέστησαν μᾶλλον,
of-the(-things) having-happened all whatever underwent rather
ἢ ἐμπεσεῖν ἐκ δευτέρου τῇ τῶν συμφορῶν ὁμοιότητι. Καὶ
than to-fall-into for second-time the of-the misfortunes likeness and
εἰ βούλει μαθεῖν τὰ δυσχερῆ τοῦ κοινοτέρου βίου, ἄκουσον
if you-wish to-learn the hard-things of-the more-common life hear
οἷα λέγουσιν αἱ τῇ πείρᾳ τὸν βίον γνωρίσασαι,
what-sort say the(-ones) by-the experience the life having-known
ὅπως μακαρίζουσι τὴν ζωὴν τῶν ἐξ ἀρχῆς τὸν
how they-call-blessed the life of-the(-ones) from beginning the
ἐν παρθενίᾳ βίον προελομένων, καὶ μὴ διὰ συμφορᾶς
in virginity life having-chosen and not through misfortune
μεταμαθόντων τὸ κάλλιον, ὅτι πάντων τῶν τοιούτων
having-learned-instead the better that of-all the such

κακῶν ἀνεπίδεκτός ἐστιν ἡ παρθενία· οὐκ ὀρφανίαν θρηνεῖ,
evils unreceptive is the virginity not orphanhood it-laments
οὐ χηρείαν ὀδύρεται· ἀεὶ σύνεστι τῷ ἀφθάρτῳ νυμφίῳ·
not widowhood it-bewails always it-is-with the incorruptible bridegroom
ἀεὶ ἐπαγάλλεται τοῖς τῆς εὐσεβείας γεννήμασι· τόν τε
always it-exults in-the of-the piety offspring the and
οἶκον τὸν ἀληθῶς ἴδιον πᾶσι καλλίστοις ὁρᾷ διηνεκῶς
house the truly own with-all fairest-things it-sees continually
εὐθηνούμενον, διὰ τὸ παρεῖναι καὶ ἐνοικεῖν ἀεὶ τὸν τοῦ
flourishing because-of the to-be-present and to-dwell always the of-the
οἴκου Δεσπότην· ἐφ' ἧς ὁ θάνατος οὐ χωρισμόν, ἀλλὰ
house Master on whom the death not separation but
συνάφειαν τοῦ ποθουμένου ποιεῖ· ὅταν γὰρ ἀναλύσῃ,
union with-the(-one) longed-for makes when for it-depart
τότε σὺν Χριστῷ γίνεται, καθώς φησιν ὁ Ἀπόστολος.
then with Christ it-becomes as says the Apostle
Ἀλλὰ καιρὸς ἂν εἴη, ἐπειδὴ τὰ τῶν εὐθυμούντων
but time — it-would-be since the(-things) of-the(-ones) being-cheerful
ἐκ μέρους ἐξήτασται, καὶ τοὺς ἑτέρους ἐποπτεῦσαι βίους
in part have-been-examined also the other to-observe lives
τῷ λόγῳ, οἷς καὶ πενίαι, καὶ δυσκληρίαι, καὶ λοιπαὶ
with-the treatise to-whom both poverties and misfortunes and remaining
τῶν ἀνθρωπίνων παθῶν συμφοραὶ παραπεπήγασιν· οἷον
of-the human sufferings misfortunes have-been-fixed-beside such-as
πηρώσεις τε καὶ νόσοι, καὶ ὅσα τοιαῦτα τῇ ἀνθρωπίνῃ
maimings both and diseases and as-many-as such-things to-the human
ζωῇ συγκεκλήρωται· ἐν οἷς ἅπασιν ὁ μὲν καθ' ἑαυτὸν
life have-been-allotted-together in which all the(-one) indeed by himself
ζῶν, ἢ διαφεύγει τὴν πεῖραν, ἢ ῥᾷον διαφέρει τὴν
living either escapes the experience or more-easily bears the
συμφοράν, συγκεκροτημένην ἔχων περὶ αὐτὸν τὴν διάνοιαν,
misfortune collected having about himself the mind

καὶ πρὸς οὐδὲν ἄλλο ταῖς φροντίσι περιελκόμενος. Ὁ δὲ
and toward nothing other by-the cares being-dragged-about the(-one) but
πρὸς γυναῖκα καὶ τέκνα μεμερισμένος, οὐδὲ σχολὴν ἄγει
toward wife and children divided not-even leisure has
πολλάκις τοῖς ἰδίοις ἐπιστενάξαι κακοῖς, τῆς τῶν φιλτάτων
often for-the own to-groan-over evils the of-the dearest
φροντίδος τὴν καρδίαν περιεχούσης. Ἢ τάχα περιττόν ἐστι
care the heart encompassing or perhaps superfluous it-is
τοῖς ὁμολογουμένοις ἐνδιατρίβειν τῷ λόγῳ· εἰ γὰρ
with-the(-things) agreed to-linger in-the treatise if for
τοῖς δοκοῦσι καλοῖς τοσοῦτος πόνος καὶ ταλαιπωρία
with-the(-things) seeming good so-much toil and hardship
συνέζευκται, τί ἄν τις περὶ τῶν ἐναντίων στοχάσαιτο;
has-been-yoked what — anyone about the opposites would-guess
Ἥπου πᾶσα λόγου ὑπογραφὴ τῆς ἀληθείας ἐλάττων ἐστί,
surely all of-word outline than-the truth less is
τὸν βίον αὐτῶν ὑπ᾽ ὄψιν ἀγαγεῖν ἐπιχειροῦσα. Ἀλλ᾽ ἔστιν
the life their under sight to-bring attempting but it-is-possible
ἴσως δι᾽ ὀλίγου τὸ πολὺ τῆς κατὰ τὴν ζωὴν ἀηδίας
perhaps through little the much of-the according-to the life unpleasantness
ἐνδείξασθαι, ὅτι ἐναντίως πρὸς τοὺς εὐημερεῖν δοκοῦντας
to-show that oppositely to the(-ones) to-prosper seeming
συγκεκληρωμένοι τῷ βίῳ, καὶ τὰς λύπας ἀπὸ τῶν ἐναντίων
allotted the life also the griefs from the opposite-things
ἔχουσι. Τοῖς μὲν γὰρ εὐθυμοῦσι ταράσσει τὸν βίον ὁ
they-have for-the indeed for cheerful troubles the life the
προσδοκώμενος ἢ καὶ παραγινόμενος θάνατος, τούτοις δὲ
expected or also present death for-these but
συμφορά ἐστιν ἡ ἀναβολὴ τοῦ θανάτου· καὶ ὁ μὲν βίος
misfortune is the postponement of-the death and the indeed life
αὐτοῖς πρὸς τὸ ἐναντίον διέστηκεν, ἡ δὲ ἀθυμία πρὸς τὸ
for-them toward the opposite stands-apart the but despondency to the

αὐτὸ πέρας ἀμφοτέροις συμφέρεται. Οὕτω πολύτροπός ἐστι
same end for-both is-brought so manifold is
καὶ ποικίλη τῶν ἐκ τοῦ γάμου κακῶν ἡ χορηγία· λυποῦσι
and varied of-the from the marriage evils the supply grieve
γὰρ ὁμοίως καὶ γινόμενοι παῖδες καὶ μὴ ἐλπιζόμενοι· καὶ
for alike both being-born children and not being-hoped-for and
πάλιν ζῶντες καὶ ἀποθνήσκοντες. Ὁ μὲν γὰρ εὐθηνεῖται
again living and dying the(-one) indeed for abounds
παισίν, οὐδὲ τροφῆς ἔχων ἱκανῶς· τῷ δὲ οὐχ ὕπεστιν
in-children not-even food having sufficiently to-the(-other) but not there-is
ὁ τοῦ κλήρου διάδοχος ἐπὶ πολλοῖς οἷς ἐμόχθησεν, καὶ
the of-the inheritance successor for many-things which he-toiled-for and
ἐν ἀγαθῶν μοίρᾳ τὴν τῶν ἀλλοτρίων ποιεῖται συμφοράν·
in of-good-things portion the of-the others misfortune he-makes
ἑκάτερος αὐτῶν ἐκεῖνο γενέσθαι βουλόμενος, ἐφ' ᾧ
each of-them that to-become wishing at which
δυσφοροῦντα βλέπει τὸν ἕτερον. Ὧ μὲν γὰρ τέθνηκεν
grieving he-sees the other to-whom indeed for has-died
ἠγαπημένος παῖς, ᾧ δὲ ἐπεβίω ὁ ἄσωτος· ἐλεεινοὶ δὲ
beloved child to-whom but survived the prodigal pitiable but
ἀμφότεροι· ὁ μὲν τὸν θάνατον τοῦ παιδός, ὁ δὲ
both the(-one) indeed the death of-the child the(-other) but
τὴν ζωὴν ὀδυρόμενος. Ἐῶ ζηλοτυπίας καὶ μάχας, εἴτε
the life bewailing I-leave-aside jealousies and fights whether
ἐξ ἀληθῶν πραγμάτων, εἴτε ἐξ ὑπονοιῶν συνισταμένας,
from true facts or from suspicions arising
εἰς οἷα πάθη καὶ συμφορὰς καταλήγουσι.
into what-kind sufferings and misfortunes they-end
Τίς γὰρ ἂν πάντα μετὰ ἀκριβείας ἀπαριθμήσαιτο; Σὺ δὲ εἰ
who for — all with exactness would-enumerate you but if
βούλει μαθεῖν, ὅπως ἐμπέπλησται τῶν τοιούτων κακῶν ἡ
you-wish to-learn how is-filled of-the such evils the

ἀνθρωπίνη ζωή, μή μοι ἀναλάβῃς τὰ παλαιὰ διηγήματα,
human life not for-me take-up the ancient narratives
ἃ τοῖς ποιηταῖς τῶν δραμάτων τὰς ὑποθέσεις ἔδωκε·
which to-the poets of-the dramas the plots gave
μῦθοι γὰρ ἐκεῖνα διὰ τὴν ὑπερβολὴν τῆς ἀτοπίας
myths for those because-of the excess of-the outrageousness
νομίζονται, ἐν οἷς παιδοφονίαι, καὶ τεκνοφαγίαι, φόνοι τε
are-thought in which child-murders and child-eatings murders both
ἀνδρῶν, καὶ μητροκτονίαι, καὶ ἀδελφῶν σφαγαί, καὶ μίξεις
of-husbands and matricides and of-brothers slaughters and unions
παράνομοι, καὶ ἡ παντοδαπὴ τῆς φύσεως σύγχυσις· ἣν
lawless and the every-kind of-the nature confusion which
οἱ τὰ ἀρχαῖα διηγούμενοι ἀπὸ γάμων ἀρχόμενοι τῆς
the(-ones) the ancient-things narrating from marriages beginning the
ἀφηγήσεως, εἰς τὰς τοιαύτας συμφορὰς καταλήγουσιν. Ἀλλ'
narration into the such misfortunes end but
ἐκεῖνα πάντα καταλιπών, θεώρησον ἐπὶ τῆς παρούσης
those all having-left behold in-the-case-of the present
τοῦ βίου σκηνῆς τὰς ἐν αὐτῷ τραγῳδίας· ὧν χορηγὸς
of-the life stage the in it tragedies of-which provider
γίνεται τοῖς ἀνθρώποις ὁ γάμος. Ἐλθὲ ἐπὶ τὰ δικαστήρια,
becomes for-the men the marriage come to the law-courts
ἀνάγνωθι τοὺς περὶ τούτων νόμους, ἐκεῖ κατόψει τὰ τῶν
read the about these laws there you-will-behold the of-the
γάμων ἀπόῤῥητα. Ὥσπερ γὰρ ὅταν ἰατρῶν ἀκούσῃς τὰ
marriages secrets as for when of-physicians you-hear the
ποικίλα πάθη διεξιόντων, τὴν ἀθλιότητα μανθάνεις τοῦ
varied sufferings going-through the wretchedness you-learn of-the
ἀνθρωπίνου σώματος, οἵων καὶ ὅσων κακῶν δεκτικόν
human body of-what-kind and how-many evils receptive
ἐστι διδασκόμενος· οὕτως ἐπειδὰν τοῖς νόμοις ἐντύχῃς,
it-is being-taught so when with-the laws you-meet

καὶ γνῷς τὰς πολυτρόπους τῶν γάμων παρανομίας, καθ'
and you-know the manifold of-the marriages lawlessnesses against
ὧν ἐκεῖνοι τὰς τιμωρίας ὁρίζουσιν, ἀκριβῶς διδάσκῃ τοῦ
which those the punishments define exactly you-are-taught of-the
γάμου τὰ ἴδια. Οὔτε γὰρ ἰατρὸς τὰ μὴ ὄντα θεραπεύει
marriage the properties neither for physician the not being treats
πάθη, οὔτε νόμος τὰ μὴ γινόμενα θεραπεύει κακά.
sufferings nor law the not happening treats evils

Ὅτι πάντα τὰ κατὰ τὸν βίον ἄτοπα, τὴν ἀρχὴν ἀπὸ τοῦ γάμου ἔχει· ἐν ᾧ καὶ οἷος ὁ κατὰ ἀλήθειαν ἀποταξάμενος τῷ βίῳ ἐστίν

4 · THAT ALL LIFE'S EVILS BEGIN WITH MARRIAGE

τῶν αἰσθήσεων τῆς ἐγγινομένης αὐτῷ ἡδονῆς ἡττηθείς,
of-the senses by-the arising in-him pleasure having-been-worsted
ἐκεῖθεν ἐτρώθη τὴν καρδίαν· καθὼς διδάσκει ἡ τοῦ Θεοῦ
thence was-wounded in-the heart as teaches the — of-God
φωνή, ὅτι τῶν ὀφθαλμῶν τὴν ἐπιθυμίαν ὁ πληρώσας,
voice that of-the eyes the desire the(-one) having-fulfilled
ἐν τῇ καρδίᾳ τὴν βλάβην ἐδέξατο. Οἶμαι δὲ ἀπὸ μέρους
in the heart the harm received I-think but from part
ἐνταῦθα περὶ παντὸς αἰσθητηρίου προειρηκέναι τὸν
here about every sense to-have-said-beforehand the
Κύριον· ὥστε ἀκολουθοῦντας ἡμᾶς τῷ εἰρημένῳ, καλῶς
Lord so-that following us the(-thing) said well
ἂν προσθεῖναι, ὅτι ὁ ἀκούσας πρὸς τὸ ἐπιθυμῆσαι, καὶ
— to-add that the(-one) having-heard toward the to-desire and
ὁ ἁψάμενος, καὶ ὁ πᾶσαν τὴν ἐν ἡμῖν δύναμιν εἰς
the(-one) having-touched and the(-one) all the in us power into
ὑπηρεσίαν ἡδονῆς κατασπάσας, τῇ καρδίᾳ ἐξήμαρτεν. Ἵνα
service of-pleasure having-dragged-down in-the heart sinned that
οὖν μὴ τοῦτο γένηται, κανόνι χρηστέον τούτῳ πρὸς τὸν
then not this happen rule must-be-used this for the
ἴδιον βίον τῷ σώφρονι, τῷ μήποτε προσθέσθαι τινὶ
own life for-the temperate the never to-attach-oneself to-anything
κατὰ ψυχήν, ᾧ δέλεάρ τι ἡδονῆς καταμέμικται· πρό
in soul to-which bait some of-pleasure has-been-mixed-in before
γε πάντων τὴν ἐπὶ τῆς γεύσεως ἡδονὴν διαφερόντως
at-least all the in the taste pleasure especially
φυλάσσειν, διότι προσεχεστέρα πως αὕτη δοκεῖ εἶναι,
to-guard because closer somehow this seems to-be
καὶ οἱονεὶ μήτηρ τῆς ἀπηγορευμένης· αἱ γὰρ κατὰ
and as-it-were mother of-the(-pleasure) forbidden the for in

βρῶσιν καὶ πόσιν ἡδοναί, πλεονάζουσαι τῶν ἐδωδίμων
food and drink pleasures exceeding of-the edibles
τὴν ἀμετρίαν, ἀνάγκην ἐμποιοῦσι τῷ σώματι τῆς τῶν
the immoderation necessity produce for-the body of-the of-the
ἀβουλήτων κακῶν πλησμονῆς, ὡς τὰ πολλὰ τοῖς ἀνθρώποις
unwished evils surfeit as the most-part for-the men
ἐντικτούσης τὰ τοιαῦτα πάθη. Ὡς ἂν οὖν μάλιστα
begetting the such passions so-that — then most
γαληνιαῖον ἡμῖν διαμένοι τὸ σῶμα, μηδενὶ τῶν ἐκ τοῦ κόρου
calm for-us may-remain the body by-none of-the from the satiety
παθημάτων ἐπιθολούμενον, προνοητέον τῆς ἐγκρατεστέρας
sufferings being-troubled we-must-take-thought of-the more-continent
διαγωγῆς, μέτρον μὲν καὶ ὅρον τῆς ἀπολαύσεως οὐ τὴν
way-of-life measure indeed and limit of-the enjoyment not the
ἡδονήν, ἀλλὰ τὴν ἐφ' ἑκάστῳ χρείαν ὁρίζειν. Εἰ δὲ τῇ
pleasure but the for each need to-define if but with-the
χρείᾳ καὶ τὸ ἥδος πολλάκις συγκαταμέμικται (πάντα
need also the pleasure often is-mixed-in all
γὰρ οἶδεν ἐφηδύνειν ἡ ἔνδεια, τῷ σφοδρῷ τῆς ὀρέξεως
for knows to-sweeten the want by-the vehemence of-the appetite
τὸ τῇ χρείᾳ παρευρεθὲν ἅπαν καταγλυκαίνουσα),
the(-thing) for-the need found all sweetening
οὐκ ἀπωστέον τὴν χρείαν διὰ τὴν ἐπακολουθοῦσαν
not must-be-rejected the need because-of the following
ἀπόλαυσιν· οὔτε μὴν κατὰ προηγούμενον μεταδιωκτέον
enjoyment nor indeed as primary must-be-pursued
τὴν ἡδονήν· ἀλλ' ἐκ πάντων ἐκλεγομένους τὸ χρήσιμον,
the pleasure but from all choosing the useful
ὑπερορᾷν προσήκει τοῦ τὰς αἰσθήσεις εὐφραίνοντος.
to-disdain it-befits the(-thing) the senses gladdening

Ὅτι οὐ δεῖ πέρα τοῦ δέοντος ἀσκεῖν τὴν ἐγκράτειαν

22 · THAT CONTINENCE SHOULD NOT GO BEYOND MEASURE

As farmers separate grain from chaff, the temperate man takes what he needs and throws the pleasure away. But many, by excessive rigor, fail their own aim, dragging the mind down to the body's sufferings. The body, a physician told Gregory, is a blend of four opposed qualities, healthy when none dominates. So the mind, like a charioteer with unequal colts, must check one and urge another, neither pampering the flesh into disorder nor wearing it out by needless hardship, so that it serves the soul with ease.

Ὁρῶμεν δὲ καὶ τοὺς γεωργοὺς ἀναμεμιγμένον τῷ σίτῳ
we-see but also the farmers mixed with-the grain
τὸ ἄχυρον τεχνικῶς διακρίνοντας· ὡς ἂν ἑκάτερον αὐτῶν
the chaff skillfully separating so-that — each of-them
εἰς προσήκουσαν χρείαν παραληφθείη, τὸ μὲν εἰς τὴν
for fitting use may-be-taken the(-one) indeed for the
τῶν ἀνθρώπων ζωήν, τὸ δὲ εἰς καῦσίν τε ἅμα καὶ εἰς
of-the men life the(-other) but for burning both at-once and for
τὴν τῶν ἀλόγων τροφήν. Οὐκοῦν καὶ ὁ τῆς σωφροσύνης
the of-the irrational-beasts food therefore also the of-the temperance
ἐργάτης διακρίνων τῆς ἡδονῆς τὴν χρείαν, ὥσπερ ἀχύρου
worker separating from-the pleasure the need as from-chaff
τὸν σῖτον, τὴν μὲν ἀποῤῥίψει τοῖς ἀλογωτέροις, ὧν
the grain the(-one) indeed will-throw-away to-the more-irrational whose
τὸ τέλος εἰς καῦσιν, ὥς φησιν ὁ Ἀπόστολος· τῆς δὲ
the end for burning as says the Apostle of-the but
χρείας αὐτῆς κατὰ τὸ ἐνδέον εὐχαριστῶν μεταλήψεται.
need itself according-to the lacking giving-thanks be-will-partake
Ἀλλ' ἐπειδὴ πολλοὶ ἐπὶ τὸ ἕτερον εἶδος τῆς ἀμετρίας
but since many to the other form of-the immoderation
κατολισθήσαντες, διὰ τῆς ὑπερβαλλούσης ἀκριβείας,
having-slipped-down through the excessive exactness

ἔλαθον ὑπεναντία σπουδάζοντες τῷ ἰδίῳ σκοπῷ, καὶ
escaped-notice opposite-things pursuing to-the own aim and
ἄλλῳ τρόπῳ τῶν ὑψηλῶν τε καὶ θειοτέρων τὴν
in-another manner from-the high both and more-divine-things the
ψυχὴν ἀποστήσαντες, εἰς ταπεινὰς φροντίδας καὶ ἀσχολίας
soul having-removed to low cares and occupations
κατήγαγον, πρὸς τὰ σωματικὰ παρατηρήματα τὴν
brought-down to the bodily observances the
διάνοιαν αὐτῶν κλίναντες· ὡς μηκέτι αὐτοῖς ἐν ἐλευθερίᾳ
mind their having-inclined so-that no-longer for-them in freedom
μετεωροπορεῖν τὸν νοῦν, καὶ τὰ ἄνω βλέπειν, ἀλλ' ἐπὶ
to-walk-on-high the mind and the(-things) above to-look but to
τὸ πονοῦν καὶ συντριβόμενον τῆς σαρκὸς ἐπικλίνεσθαι·
the(-thing) laboring and being-crushed of-the flesh to-incline
καλῶς ἂν ἔχοι καὶ τούτου ποιεῖσθαι τὴν ἐπιμέλειαν,
well — it-would-be also of-this to-make the care
καὶ τὰς ἐξ ἑκατέρων ἐπιμετρίας ἐπίσης παραφυλάττεσθαι,
and the from both excesses equally to-guard-against
μήτε διὰ πολυσαρκίας καταχωννύντας τὸν νοῦν, μηδ'
neither through much-flesh burying the mind nor
αὖ πάλιν ταῖς ἐπεισάκτοις ἀσθενείαις ἐξίτηλον αὐτὸν
in-turn again by-the imported weaknesses faded it
καὶ ταπεινὸν ποιεῖν, καὶ περὶ τοὺς σωματικοὺς πόνους
and low to-make and about the bodily toils
ἠσχοληκέναι· μεμνῆσθαι δὲ τοῦ σοφοῦ παραγγέλματος,
occupied to-remember but the wise precept
τοῦ ἐπίσης ἀπειρηκότος τήν τε ἐπὶ τὰ δεξιὰ καὶ τὰ
the(-one) equally having-forbidden the both to the right and the
ἐναντία παρατροπήν. Ἤκουσα δέ τινος ἰατρικοῦ τὰ
opposite deviation I-heard but some physician the(-things)
ἐκ τῆς τέχνης διεξιόντος, ὅτι ἐκ τεσσάρων ἡμῖν οὐχ
from the art going-through that from four to-us not

ὁμοειδῶν στοιχείων, ἀλλ᾽ ἐναντίως κειμένων, τὸ σῶμα
homogeneous elements but oppositely lying the body
συνέστηκε· θερμόν τε καὶ ψυχρὸν συγκεκρᾶσθαι· καὶ ὑγροῦ
is-constituted hot both and cold to-have-been-blended and of-wet
πρὸς ξηρὸν εἶναι τὴν μῖξιν παράλογον, τῇ διὰ μέσου
with dry to-be the mixture paradoxical by-the through middle
τῶν συζυγιῶν οἰκειότητι πρὸς τὰ ἐναντία συναπτομένων.
of-the pairings kinship with the opposites being-joined
Καί τινι λεπτουργίᾳ τοιαύτῃ τὸν λόγον φυσιολογῶν
and with-some subtlety such the word explaining-naturally
ἀπεδείκνυε, φάσκων ἑκάστου τούτων ἐκ διαμέτρου πρὸς
he-showed asserting each of-these from diameter from
τὸ ἀντικείμενον ἀφεστῶς τῇ φύσει διὰ τῆς συγγενείας
the opposite standing-apart in-the nature through the kinship
τῶν παρακειμένων ποιοτήτων τοῖς ἐναντίοις συνάπτεσθαι.
of-the adjacent qualities with-the opposites to-be-joined
Τοῦ γὰρ ψυχροῦ καὶ τοῦ θερμοῦ κατὰ τὸ ἴσον ὑγροῖς
of-the for cold and of-the hot according-to the equal in-wet
τε καὶ ξηροῖς ἐγγινομένων, καὶ τὸ ἔμπαλιν τοῦ ὑγροῦ
both and dry-things arising and the conversely of-the wet
τε καὶ ξηροῦ ἐν τοῖς θερμοῖς τε καὶ ψυχροῖς ὁμοίως
both and dry in the hot both and cold likewise
συνισταμένων· ἡ τῶν ποιοτήτων ταυτότης ἐπίσης τοῖς
subsisting the of-the qualities identity equally in-the
ἐναντίοις ἐμφαινομένη, δι᾽ ἑαυτῆς ποιεῖ τῶν ἀντικειμένων
opposites appearing through itself makes of-the opposed-things
τὴν σύνοδον.
the meeting
Ἀλλὰ τί μοι τὰ καθ᾽ ἕκαστον δι᾽ ἀκριβείας ἐξιέναι,
but why to-me the(-things) by each with exactness to-go-through
ὅπως ταῦτα καὶ τέτμηται ἀπ᾽ ἀλλήλων τῇ ἐναντιώσει
how these-things both have-been-cut from one-another by-the opposition

τῆς φύσεως, καὶ πάλιν ἥνωται τῇ συγγενείᾳ τῶν
of-the nature and again have-been-united by-the kinship of-the
ποιοτήτων ἀλλήλοις συνανακιρνάμενα; Πλὴν οὗ χάριν
qualities with-one-another mixed-together however of-which for-the-sake
τῶν εἰρημένων ἐμνήσθημεν, ὅτι συνεβούλευεν ὁ
of-the(-things) said we-made-mention that he-counseled the(-one)
τὴν τοῦ σώματος φύσιν τῇ θεωρίᾳ ταύτῃ κατανοήσας
the of-the body nature by-the contemplation this having-perceived
προνοεῖν, ὡς οἷόν τε, τῆς ἰσοκρατείας τῶν ποιοτήτων·
to-take-thought as possible — of-the equal-power of-the qualities
ἐν τούτῳ γὰρ εἶναι τὸ ὑγιαίνειν, ἐν τῷ μηδὲν ὑπὸ τοῦ
in this for to-be the to-be-healthy in the nothing by the
ἑτέρου τῶν ἐν ἡμῖν δυναστεύεσθαι. Οὐκοῦν ἐπιμελητέον
other of-the(-things) in us to-be-dominated therefore must-be-cared-for
ἡμῖν τῆς τοιαύτης καταστάσεως πρὸς τὴν τῆς ὑγείας
by-us of-the such state for the of-the health
διαμονήν, εἴπερ τι ἀληθὲς αὐτῶν ὁ λόγος ἔχει, μηδενὶ
continuance if-indeed anything true their the word has to-no
μέρει τῶν ἐξ ὧν συνεστήκαμεν ἢ πλεονασμὸν
part of-the(-things) from which we-are-constituted either excess
ἢ ἐλάττωσιν ἐκ τῆς κατὰ τὴν δίαιταν ἀνωμαλίας
or diminution from the in the diet unevenness
ἐπάγοντες· ὥσπερ γὰρ ὁ τοῦ ἅρματος ἐπιστάτης, εἰ μὴ
bringing-on as for the of-the chariot overseer if not
συμφωνούντων ἐπιστατοίη τῶν πώλων, οὔτε τὸν ὀξὺν
agreeing he-should-oversee the colts neither the swift
ἐπισπέρχει τῇ μάστιγι, οὔτε τὸν βραδὺν κατάγει ταῖς
urges-on with-the whip nor the slow holds-back with-the
ἡνίαις, οὐδ' αὖ πάλιν τὸν ἐνδιάστροφον ἢ ῥυσήνιον
reins nor in-turn again the twisting or rein-shy
ἄνετον ἐᾷ ταῖς οἰκείαις ὁρμαῖς εἰς ἀταξίαν ἐκφέρεσθαι,
unrestrained lets by-the own impulses into disorder to-be-carried-off

ἀλλὰ τὸν μὲν εὐθύνει, τὸν δὲ ἀνακόπτει, τοὺς δὲ
but the(-one) indeed he-straightens the(-other) but checks the(-others) but
καθικνεῖται διὰ τῆς μάστιγος, ἕως μίαν τοῖς πᾶσι τὴν πρὸς
strikes with the whip until one to-the all the toward
τὸν δρόμον σύμπνοιαν ἐμποιήσῃ· τὸν αὐτὸν τρόπον καὶ ὁ
the race unity he-produce the same manner also the
ἡμέτερος νοῦς ὁ τὰς τοῦ σώματος ἡνίας ἐφ' ἑαυτὸν
our mind the(-one) the of-the body reins in himself
ἔχων, οὔτε πλεονάζοντι τῷ θερμῷ κατὰ τὸν καιρὸν τῆς
having neither to-exceeding the heat at the time of-the
νεότητος τὰς τῆς πυρώσεως προσθήκας ἐπινοήσει, οὔτε
youth the of-the burning additions will-devise nor
κατεψυγμένῳ διὰ πάθος ἢ χρόνον, τὰ ψύχοντα καὶ τὰ
to-chilled through suffering or time the cooling-things and the
μαραίνοντα πλεονάσει· καὶ ἐπὶ τῶν λοιπῶν ποιοτήτων
withering-things will-increase and in-the-case-of the remaining qualities
ὁμοίως τῆς Γραφῆς ἀκούσεται· Ἵνα μήτε ὁ τὸ πολὺ
likewise the Scripture will-hear that neither the(-one) the much
πλεονάσῃ, μήτε ὁ τὸ ὀλίγον ἐλαττονήσῃ· ἀλλὰ τὸ
should-exceed nor the(-one) the little should-fall-short but the(-thing)
ἐν ἑκατέρῳ ἄμετρον περικόπτων, τῆς τοῦ ἐνδέοντος
in each immoderate cutting-off of-the of-the lacking
προσθήκης ἐπιμελήσεται, καὶ ἐπίσης τὴν ἐφ' ἑκάτερα τοῦ
addition he-will-care and equally the on either-side of-the
σώματος ἀχρηστίαν φυλάξεται· μήτε δι' ὑπερβαλλούσης
body uselessness will-guard-against neither through excessive
εὐπαθείας ἄτακτον καὶ δυσήνιον τὴν σάρκα ἑαυτοῦ
comfort disorderly and hard-to-rein the flesh his-own
ἐπασκήσας, μήτε διὰ τῆς ἀμέτρου κακοπαθείας νοσώδη
having-trained nor through the immoderate hardship sickly
καὶ λελυμένην καὶ ἄτονον πρὸς τὴν ἀναγκαίαν ὑπηρεσίαν
and loosened and slack for the necessary service

παρασκευάσας· οὗτος ὁ τελειότατος τῆς ἐγκρατείας
having-prepared this the most-perfect of-the continence
σκοπός, οὐχὶ πρὸς τὴν τοῦ σώματος βλέπειν κακοπάθειαν,
aim not to the of-the body to-look hardship
ἀλλὰ πρὸς τὴν τῶν ψυχικῶν διακονημάτων εὐκολίαν.
but to the of-the soul ministries ease

Ὅτι ὁμοίως ἐναντιοῦται τῇ ψυχῇ πρὸς τὴν τελείωσιν, ἥ τε πολυσαρκία καὶ ἡ ἄμετρος κακοπάθεια

23 · THAT EXCESS OF FLESH OR HARDSHIP HINDERS THE SOUL

The particulars of this life are best learned from one who lives it, for teaching by deeds is stronger than by words, and the teacher is close at hand. As a foreign language is learned from those who speak it, and medicine from those who have tested remedies, the young must find a guide, since a mistake here costs the soul itself. Some who went their own way became idle, dreamers who trust visions, or savage hermits; some starved to death; others, celibate in name only, lived with women and called it brotherhood.

Τὰ δὲ καθ' ἕκαστον, ὅπως τε χρὴ βιοτεύειν τὸν
the(-things) but by each how both it-is-needful to-live the(-one)
ἐν φιλοσοφίᾳ ταύτῃ ζῆν προελόμενον, καὶ τίνα φυλάττεσθαι,
in philosophy this to-live having-chosen and what to-guard-against
καὶ τίσιν ἐπιτηδεύμασιν ἀσκεῖν ἑαυτόν, ἐγκρατείας μέτρα,
and in-what practices to-train himself of-continence measures
καὶ διαγωγῆς τρόπον, καὶ πάντα τὸν ἐπιβάλλοντα τῷ
and of-way-of-life manner and all the befitting to-the
τοιούτῳ σκοπῷ βίον, ὅτῳ φίλον δι' ἀκριβείας μαθεῖν,
such aim life to-whom-ever dear through exactness to-learn
εἰσὶ μὲν καὶ ἔγγραφοι διδασκαλίαι ταῦτα διδάσκουσαι·
there-are indeed also written teachings these-things teaching

ἐνεργεστέρα δὲ τῆς ἐκ τῶν λόγων διδαχῆς ἡ διὰ τῶν
more-effective but than-the from the words teaching the through the
ἔργων ἐστὶν ὑφήγησις· καὶ οὐδεμία πρόσεστι δυσκολία
works is guidance and no is-present difficulty
τῷ προστάγματι, ὡς δεῖν ἢ μακρὰν ὁδοιπορίαν, ἢ
to-the command so-as to-be-needful either long journey or
ναυτιλίαν πολλὴν ὑποστάντας, ἐπιτυχεῖν τοῦ παιδεύοντος·
voyage much having-undergone to-attain the(-one) teaching
ἀλλ᾽ ἐγγύς σου τὸ ῥῆμα, φησὶν ὁ Ἀπόστολος· ἀπὸ τῆς
but near you the word says the Apostle from the
ἑστίας ἡ χάρις· ἐνταῦθα τὸ τῶν ἀγαθῶν ἐργαστήριον, ἐν
hearth the grace here the of-the good-things workshop in
ᾧ τὸ ἀκρότατον τῆς ἀκριβείας ὁ τοιοῦτος βίος προϊὼν
which the highest of-the exactness the such life advancing
ἐκκεκάθαρται· καὶ πολλή ἐστιν ἐξουσία καὶ σιωπώντων
has-been-purified and much is authority both of-silent-ones
ἐνταῦθα καὶ φθεγγομένων τὴν οὐράνιον ταύτην πολιτείαν
here and of-speaking-ones the heavenly this conduct
διὰ τῶν ἔργων διδάσκεσθαι· ἐπεὶ καὶ πᾶς λόγος δίχα τῶν
through the works to-be-taught since also every word without the
ἔργων θεωρούμενος, κἂν ὅτι μάλιστα κεκαλλωπισμένος
works contemplated even-if as much-as-possible adorned
τύχῃ, εἰκόνι ἔοικεν ἀψύχῳ, ἐν βαφαῖς καὶ χρώμασιν
it-happen-to-be to-image is-like soulless in dyes and colors
εὐανθῆ τινα χαρακτῆρα προδεικνυούσῃ· ὁ δὲ ποιῶν
bright some character showing-forth the(-one) but doing
καὶ διδάσκων, καθώς πού φησι τὸ Εὐαγγέλιον, οὗτος
and teaching as somewhere says the Gospel this-one
ἀληθῶς ζῶν ἐστιν ἄνθρωπος, καὶ ὡραῖος τῷ κάλλει, καὶ
truly living is man and lovely in-the beauty and
ἐνεργός, καὶ κινούμενος. Οὐκοῦν τούτῳ προσφοιτητέον ἐστὶ
active and moving therefore to-this-one must-resort is

τὸν μέλλοντα κατὰ τὸν ἐροῦντα λόγον τῆς παρθενίας
the(-one) going-to according-to the going-to-say word to-the virginity
ἀνθέξεσθαι· καθάπερ γὰρ ὁ φωνὴν ἔθνους τινὸς
to-hold-fast as for the(-one) language of-nation some
ἐκμαθεῖν προθυμούμενος, οὐκ ἔστιν αὐτάρκης ἑαυτῷ
to-learn-thoroughly being-eager not is self-sufficient to-himself
διδάσκαλος, ἀλλὰ παρὰ τῶν ἐπισταμένων παιδεύεται,
teacher but from the(-ones) knowing is-taught
καὶ οὕτω γίνεται τοῖς ἀλλογλώσσοις ὁμόφωνος. Οὕτως
and so becomes with-the foreign-tongued of-one-speech so
οἶμαι καὶ τοῦ βίου τούτου μὴ κατὰ τὴν ἀκολουθίαν
I-think also of-the life this not according-to the sequence
προϊόντος τῆς φύσεως, ἀλλ' ἀπεξενωμένου τῇ καινότητι
advancing of-the nature but estranged by-the novelty
τῆς διαγωγῆς, μὴ ἄλλως τινὰ μαθεῖν τὴν ἀκρίβειαν, ἢ
of-the way-of-life not otherwise anyone to-learn the exactness than
παρὰ τοῦ κατωρθωκότος χειραγωγούμενον· καὶ τὰ
from the(-one) having-achieved being-led-by-the-hand and the(-things)
ἄλλα δὲ πάντα ὅσα κατὰ τὸν βίον ἐπιτηδεύομεν,
other but all as-many-as in the life we-practice
μᾶλλον κατορθωθείη τῷ μετιόντι, εἰ παρὰ διδασκάλοις
rather would-be-achieved by-the(-one) pursuing if from teachers
τις ἑκάστου τῶν σπουδαζομένων ἐκμάθοι τὴν
anyone of-each of-the(-things) pursued should-learn the
ἐπιστήμην, ἢ εἰ ἀφ' ἑαυτοῦ κατεπιχειροίη τοῦ πράγματος·
knowledge than if from himself he-should-attempt the thing
οὐ γὰρ ἐναργές ἐστι τὸ ἐπιτήδευμα τοῦτο, ὥστε κατ'
not for evident is the practice this so-as of
ἀνάγκην ἑαυτοῖς ἐπιτρέπειν τῶν λυσιτελούντων τὴν κρίσιν·
necessity to-ourselves to-entrust of-the profitable-things the judgment
ὅτε δὴ καὶ τὸ κατατολμᾷν τῆς τῶν ἀγνοουμένων
when indeed also the to-venture-on the of-the unknown-things

πείρας οὐκ ἔξω κινδύνου καθίσταται. Καθάπερ δὲ τὴν
trial not outside of-danger stands as but the
ἰατρικὴν πρότερον ἀγνοουμένην διὰ τῆς πείρας ἐξεῦρον οἱ
medicine formerly unknown through the experience found-out the
ἄνθρωποι, παρατηρήμασί τισι κατ' ὀλίγον ἐκκαλυφθεῖσαν,
men by-observations some by little uncovered
ὥστε καὶ τὸ ὠφελοῦν καὶ τὸ βλάπτον διὰ τῆς τῶν
so-that both the helping and the harming through the of-the(-ones)
πεπειραμένων μαρτυρίας ἐπιγνωσθέν, οὕτως εἰς τὸν τῆς
having-tried testimony having-been-recognized so into the of-the
τέχνης λόγον παραληφθῆναι, καὶ παράγγελμα πρὸς τὸ
art account to-be-taken-up and precept for the
μέλλον τὸ παρατηρηθὲν τοῖς προλαβοῦσι γίνεσθαι·
future the(-thing) observed by-the(-ones) having-gone-before to-become
νῦν δὲ ὁ πρὸς τὴν τέχνην ταύτην ἐσπουδακώς, οὐκ
now but the(-one) toward the art this having-been-zealous not
ἔχει ἀνάγκην τῇ καθ' ἑαυτὸν πείρᾳ διαγινώσκειν τῶν
has necessity by-the by himself trial to-discern of-the
φαρμάκων τὴν δύναμιν, εἴτε δηλητήριον, εἴτε ἀλεξιτήριόν
drugs the power whether poisonous or protective
τί ἐστιν· ἀλλὰ τὰ ἐγνωσμένα παρ' ἑτέρων μαθών,
any it-is but the(-things) known from others having-learned
αὐτὸς τὴν τέχνην κατώρθωσε· τὸν αὐτὸν τρόπον καὶ
he the art achieved the same manner also
τῆς τῶν ψυχῶν ἰατρικῆς, τῆς φιλοσοφίας λέγω, δι'
of-the of-the souls medicine the philosophy I-mean through
ἧς παντὸς πάθους τοῦ τῆς ψυχῆς ἁπτομένου τὴν
which of-every passion the(-one) the soul touching the
θεραπείαν μανθάνομεν, οὐκ ἔστιν ἀνάγκη στοχασμοῖς τισι
healing we-learn not is necessity by-conjectures some
καὶ ὑπονοίαις μετιέναι τὴν ἐπιστήμην, ἀλλ' ἐξουσία πολλὴ
and suppositions to-pursue the knowledge but authority much

τῆς μαθήσεως παρὰ τοῦ διὰ μακρᾶς τε καὶ πολλῆς
of-the learning from the(-one) through long both and much
τῆς πείρας κτησαμένου τὴν ἕξιν.
the experience having-acquired the habit
Ἔστι μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐπὶ παντὸς
it-is indeed for as for the most-part also in-the-case-of every
πράγματος σύμβουλος ἡ νεότης, καὶ οὐκ ἄν τις εὕροι
thing adviser the youth and not — anyone would-find
ῥᾳδίως κατωρθωμένον τι τῶν σπουδῆς ἀξίων, ᾧ
easily achieved any of-the(-things) of-zeal worthy for-which
μὴ πολιὰ συμπαρελήφθη πρὸς κοινωνίαν τοῦ σκέμματος·
not gray-hair was-taken-along toward partnership of-the consideration
ὅσῳ δὲ μεῖζον τῶν λοιπῶν ἐπιτηδευμάτων ὁ
by-as-much-as but greater than-the remaining practices the
προκείμενος τοῖς μετιοῦσίν ἐστι σκοπός, τοσούτῳ
set-before to-the(-ones) pursuing is aim by-so-much
καὶ μᾶλλον προνοητέον ἡμῖν τῆς ἀσφαλείας ἐστίν.
also more must-be-taken-forethought by-us of-the security it-is
Ἐπὶ μὲν γὰρ τῶν λοιπῶν ἡ νεότης οὐ κατὰ
in-the-case-of indeed for the remaining-things the youth not according-to
λόγον διοικουμένη εἰς χρήματα πάντως τὴν ζημίαν ἤνεγκεν,
reason managed into money altogether the loss brought
ἢ τινος κοσμικῆς περιφανείας, ἢ καὶ ἀξιώματος ἐκπεσεῖν
or of-some worldly renown or also of-dignity to-fall-from
κατηνάγκασεν· ἐπὶ δὲ τῆς μεγάλης τε καὶ ὑψηλῆς
compelled in-the-case-of but the great both and high
ταύτης ἐπιθυμίας, οὐ χρήματα τὸ κινδυνευόμενόν ἐστιν,
this desire not money the(-thing) endangered is
οὐδὲ δόξα κοσμικὴ καὶ ἐφήμερος, οὐδ' ἄλλο τι τῶν
nor glory worldly and ephemeral nor other any of-the(-things)
ἔξωθεν ἡμῖν παρεπομένων, ὧν καὶ κατὰ γνώμην,
from-outside to-us attending of-which both according-to judgment

καὶ ὡς ἑτέρως διοικουμένων ὀλίγος τοῖς σωφρονοῦσιν
and as otherwise being-managed little for-the(-ones) being-temperate
ὁ λόγος· ἀλλ᾽ αὐτῆς ἅπτεται τῆς ψυχῆς ἡ ἀβουλία, καὶ
the account but itself touches the soul the ill-counsel and
ὁ κίνδυνος τῆς τοιαύτης ζημίας ἐστίν, οὐ τὸ ἄλλο τι
the danger of-the such loss is not the other something
ζημιωθῆναι, οὗ τυχὸν καὶ δυνατὴ φαίνεται ἡ ἐπανάληψις,
to-be-lost of-which perhaps also possible appears the recovery
ἀλλὰ τό, αὐτὸν ἀπολέσθαι καὶ ζημιωθῆναι τὴν ψυχὴν τὴν
but the himself to-be-destroyed and to-lose the soul the
ἰδίαν. Ὁ μὲν γὰρ τὴν πατρῴαν καταναλώσας οὐσίαν,
own the(-one) indeed for the paternal having-spent property
οὐκ ἀπελπίζει τυχὸν ἐπινοίαις τισὶ πάλιν ἐπὶ τὴν ἀρχαίαν
not despairs perhaps by-devices some again to the ancient
ἐπανελθεῖν εὐπορίαν, ἕως ἂν ἐν τοῖς ζῶσιν ᾖ· ὁ
to-return prosperity as-long-as — among the living he-be the(-one)
δὲ τῆς ζωῆς ταύτης ἐκπεσών, πᾶσαν ἐλπίδα τῆς
but from-the life this having-fallen-away all hope of-the
πρὸς τὸ κρεῖττον μεταβολῆς συναφῄρηται. Οὐκοῦν ἐπειδὴ
toward the better change has-been-deprived-of therefore since
νέοι ἔτι καὶ ἀτελεῖς τὴν διάνοιαν οἱ πολλοὶ τῆς παρθενίας
young still and imperfect in-the mind the many the virginity
ἀντιλαμβάνονται, τοῦτο πρὸ πάντων αὐτοῖς ἐπιτηδευτέον
take-up this before all for-them must-be-practiced
ἂν εἴη, τὸ ζητῆσαι τῆς ὁδοῦ ταύτης καθηγούμενόν τε
— would-be the to-seek of-the road this leader both
καὶ διδάσκαλον ἀγαθόν, μή που διὰ τὴν ἄγνοιαν τὴν
and teacher good lest somehow because-of the ignorance the
οὖσαν ἐν αὐτοῖς, ἀνοδίας τινὰς καὶ πλάνας ἑαυτοῖς ἀπὸ
being in them pathlessnesses some and wanderings for-themselves from
τῆς εὐθείας καινοτομήσωσιν. Ἀγαθοὶ γὰρ δύο ὑπὲρ τὸν
the straight they-innovate good for two above the

ἕνα, φησὶν ὁ Ἐκκλησιαστής· εὐκαταγώνιστος δὲ ὁ
one says the Ecclesiastes easily-overcome but the(-one)
εἷς τῷ ἐχθρῷ τῷ κατὰ τὰς θείας ὁδοὺς ἐνεδρεύοντι·
one by-the enemy the(-one) by the divine roads lying-in-wait
καὶ ὄντως «Οὐαὶ τῷ ἑνὶ ὅταν πέσῃ, ὅτι οὐκ ἔχει τὸν
and truly woe to-the one when he-fall because not he-has the(-one)
ἀνορθοῦντα.» Ἤδη γάρ τινες ὁρμῇ μὲν δεξιᾷ πρὸς
setting-him-up already for some with-impulse indeed right toward
τὴν τοῦ σεμνοῦ βίου ἐπιθυμίαν ἐχρήσαντο· ὡς δὲ ὁμοῦ
the of-the august life desire used as but at-once
τῷ προελέσθαι, καὶ τῆς τελειότητος ἐφαψάμενοι, ἑτέρῳ
with-the to-choose also the perfection having-touched by-another
πτώματι διὰ τοῦ τύφου ὑπεσκελίσθησαν, διά τινος
fall through the conceit were-tripped-up through some
φρενοβλαβείας ἑαυτοὺς ἐξαπατήσαντες ἐκεῖνο ἡγεῖσθαι
mental-derangement themselves having-deceived that to-think
καλόν, ἐφ' ὅπερ αὐτῶν ἡ διάνοια ῥέψῃ.
beautiful to which their the mind should-incline
Ἐκ τούτων εἰσὶν οἱ παρὰ τῆς σοφίας ὀνομασθέντες
from these are the(-ones) by the wisdom named
ἀεργοί, οἱ τὰς ὁδοὺς αὐτῶν ἀκάνθαις στρώσαντες·
idle the(-ones) the roads their with-thorns having-strewn
οἱ βλάβην ἡγούμενοι τῆς ψυχῆς τὴν περὶ τὰ
the(-ones) harm thinking of-the soul the about the
ἔργα τῶν ἐντολῶν προθυμίαν· οἱ παραγραψάμενοι
works of-the commandments eagerness the(-ones) having-set-aside
τὰς ἀποστολικὰς παραινέσεις, καὶ μὴ τὸν ἴδιον ἄρτον
the apostolic exhortations and not the own bread
εὐσχημόνως ἐσθίοντες, ἀλλὰ τῷ ἀλλοτρίῳ προστετηκότες,
decently eating but to-the another's clinging
τέχνην βίου τὴν ἀργίαν ποιούμενοι· ἐντεῦθεν οἱ ἐνυπνιασταί,
art of-life the idleness making hence the dreamers

οἱ τὰς ἐκ τῶν ὀνείρων ἀπάτας πιστοτέρας τῶν
the(-ones) the from the dreams deceits more-credible than-the
εὐαγγελικῶν διδαγμάτων ποιούμενοι, καὶ ἀποκαλύψεις τὰς
gospel teachings making and revelations the
φαντασίας προσαγορεύοντες (ἀπὸ τούτων εἰσὶν οἱ
fantasies calling from these are the(-ones)
ἐνδύνοντες εἰς τὰς οἰκίας)· καὶ πάλιν ἄλλοι οἱ τὸ ἄμικτόν
creeping into the houses and again others the(-ones) the unsociable
τε καὶ θηριώδες ἀρετὴν νομίζοντες, οὐδὲ τῆς μακροθυμίας
both and beastly virtue thinking not-even of-the long-suffering
τε καὶ ταπεινοφροσύνης τὸν καρπὸν ἐπιστάμενοι. Καὶ τίς
both and humility the fruit knowing and who
ἂν διεξέλθοι πάντα τὰ τοιαῦτα πτώματα, εἰς ὅσα
— would-go-through all the such falls into how-many
ἐκφέρεται, τῷ μὴ θέλειν τοῖς κατὰ Θεὸν εὐδοκιμοῦσι
it-is-carried by-the not to-wish to-the(-ones) according-to God well-reputed
προστίθεσθαι; Ἐκ τούτων γὰρ ἔγνωμεν καὶ τοὺς τῷ
to-attach-oneself from these for we-knew also the(-ones) in-the
λιμῷ μέχρι θανάτου ἐγκαρτεροῦντας, ὡς τοῦ Θεοῦ ταῖς
hunger until death persevering as — God with-the
τοιαύταις εὐαρεστουμένου θυσίαις· καὶ πάλιν ἄλλους ἐκ
such being-pleased sacrifices and again others from
διαμέτρου πρὸς τὸ ἐναντίον ἀποστατήσαντας· οἳ μέχρις
diameter to the opposite having-revolted who as-far-as
ὀνόματος τὴν ἀγαμίαν ἐπιτηδεύσαντες, οὐδὲν διαφέρουσι
name the celibacy having-practiced in-nothing differ
τοῦ κοινοῦ βίου· οὐ μόνον τῇ γαστρὶ τὰ πρὸς ἡδονὴν
from-the common life not only to-the belly the(-things) for pleasure
χαριζόμενοι, ἀλλὰ γυναιξὶ κατὰ τὸ φανερὸν συνοικοῦντες,
granting but with-women according-to the open living-together
καὶ ἀδελφότητα τὴν τοιαύτην συμβίωσιν ὀνομάζοντες, ὡς
and brotherhood the such living-together naming as

δὴ τὴν πρὸς τὸ χεῖρον ὑπόνοιαν ὀνόματι σεμνοτέρῳ
indeed the toward the worse suspicion by-name more-august
περικαλύπτοντες. Δι᾽ ὧν καὶ σφόδρα τὸ σεμνὸν τοῦτο
covering-round through which also very the august this
καὶ καθαρὸν ἐπιτήδευμα βλασφημεῖται παρὰ τῶν ἔξωθεν.
and pure practice is-blasphemed by the(-ones) outside

Ὅτι χρὴ τὸν τὴν ἀκρίβειαν τοῦ βίου μαθεῖν βουλόμενον, παρὰ τοῦ κατορθώσαντος διδάσκεσθαι

24 · LEARNING THE EXACT LIFE FROM ONE WHO LIVES IT

Examples of the good are not lacking; holiness has never flourished more. Look for one who stands between death and life: dead to worldly desire, alive in good works, with old age in youth and youth in old age. Imitate him, or the chorus of saints around him, who sailed through life's surge on the tree of temperance. If some have failed, look to the one who succeeded. Crucified with Christ, offered as a living sacrifice and a pure priest, the virgin will see God with a pure heart.

Οὐκοῦν λυσιτελὲς ἂν εἴη μὴ νομοθετεῖν ἑαυτοῖς τοὺς
therefore profitable — it-would-be not to-legislate for-themselves the
νέους τὴν τοῦ βίου τούτου ὁδόν· οὐ γὰρ ἐπιλέλοιπε
young the of-the life this road not for has-failed
τὴν ζωὴν ἡμῶν τὰ τῶν ἀγαθῶν ὑποδείγματα· ἀλλὰ
the life our the of-the good examples but
καὶ σφόδρα νῦν, εἴπερ ποτέ, ἡ σεμνότης ἤνθησε, καὶ
also very now if-indeed ever the dignity bloomed and
ἐπιχωριάζει τῷ βίῳ ἡμῶν, πρὸς τὸ ἀκρότατον ταῖς
dwells in-the life our to the highest by-the
κατ᾽ ὀλίγον προσθήκαις ἀκριβωθεῖσα· ἧς ἔξεστι
by little additions having-been-made-exact of-which it-is-possible
μετασχεῖν τὸν τοῖς τοιούτοις ἴχνεσι περιπατοῦντα, καὶ
to-partake the(-one) in-the such footprints walking and

τῆς ὀσμῆς τοῦ μύρου τούτου κατόπιν ἑπόμενον, τῆς
of-the scent of-the ointment this behind following with-the
εὐωδίας τοῦ Χριστοῦ ἀναπίμπλασθαι. Καθάπερ γὰρ μᾶς
fragrance — of-Christ to-be-filled as for of-one
ἐξαφθείσης λαμπάδος, εἰς πάντας τοὺς προσεγγίζοντας
having-been-lit torch to all the approaching
λύχνους ἡ τῆς φλογὸς διάδοσις γίνεται, οὔτε τοῦ πρώτου
lamps the of-the flame distribution happens neither the first
φωτὸς ἐλαττουμένου, καὶ τοῖς διὰ μεταλήψεως
light being-diminished and to-the(-ones) through participation
φωτιζομένοις κατὰ τὸ ἴσον προσγινομένου· οὕτω καὶ
lit according-to the equal being-added so also
ἡ τοῦ βίου τούτου σεμνότης ἀπὸ τοῦ κατωρθωκότος
the of-the life this dignity from the(-one) having-achieved
αὐτὴν ἐπὶ τοὺς προσεγγίζοντας διαδίδοται· ἀληθὴς γὰρ
it to the(-ones) approaching is-distributed true for
ὁ προφητικὸς λόγος, τὸν μετὰ ὁσίου καὶ ἀθῴου καὶ
the prophetic word the(-one) with holy and innocent and
ἐκλεκτοῦ διάγοντα, τοιοῦτον γίνεσθαι. Εἰ δὲ ζητεῖς τὰ
chosen living such to-become if but you-seek the
γνωρίσματα, δι' ὧν οὐκ ἔστιν ἁμαρτεῖν τοῦ ἀγαθοῦ
marks through which not it-is-possible to-miss the good
ὑποδείγματος, εὔκολος ἡ ὑπογραφή. Ἐὰν ἴδῃς βίον
example easy the outline if you-see life
ἀνδρὸς ἐν μέσῳ θανάτου καὶ ζωῆς ἑστῶτα τὸ ἑκατέρωθεν
of-man in middle of-death and of-life standing the from-both-sides
χρήσιμον εἰς φιλοσοφίαν αἱρούμενον, οὔτε τὸ ἄπρακτον
useful for philosophy choosing neither the inactivity
τοῦ θανάτου καταδεχόμενον ἐν τῇ περὶ τὰς ἐντολὰς
of-the death accepting in the about the commandments
προθυμίᾳ, οὔτε ὅλῳ τῷ ποδὶ ἐπὶ τῆς ζωῆς βεβηκότα
eagerness nor with-whole the foot on the life having-stepped

διὰ τὴν τῶν κοσμικῶν ἐπιθυμιῶν ἀλλοτρίωσιν, ἐν οἷς
because-of the of-the worldly desires estrangement in which
μὲν σαρκὸς ζωὴ δοκιμάζεται, τῶν νεκρῶν ἀπρακτότερον
indeed of-flesh life is-tested than-the dead more-inactive
μένοντα, πρὸς δὲ τὰ τῆς ἀρετῆς ἔργα, δι᾽ ὧν οἱ
remaining toward but the of-the virtue works through which the(-ones)
τῷ πνεύματι ζῶντες ἐπιγινώσκονται, ἀληθῶς ἔμψυχον
by-the spirit living are-recognized truly ensouled
καὶ ἐνεργὸν καὶ ἰσχύοντα, πρὸς τοῦτον βλέπε τὸν κανόνα
and active and strong to this-one look the rule
τοῦ βίου· οὗτος ἔστω σοι σκοπὸς τῆς θείας ζωῆς,
of-the life this-one let-be for-you aim of-the divine life
καθάπερ τοῖς κυβερνήταις οἱ ἀειφανεῖς τῶν ἀστέρων,
as for-the helmsmen the ever-visible of-the stars
μίμησαι τούτου καὶ πολιάν, καὶ νεότητα· μᾶλλον δὲ
imitate of-this-one both gray-hair and youth rather but
μίμησαι αὐτοῦ τὸ ἐν μειρακίῳ γῆρας, καὶ τὴν ἐν τῷ
imitate his the in boyhood old-age and the in the
γήρᾳ νεότητα· οὔτε γὰρ τὸ ῥωμαλέον αὐτοῦ τῆς ψυχῆς
old-age youth neither for the vigorous his of-the soul
δραστήριον ἤδη πρὸς γῆρας ἐπικλιθείσης τῆς ἡλικίας
activity already toward old-age having-inclined the age
ὁ χρόνος ἠμαύρωσεν, οὔτε ἡ νεότης ἐνεργὴς ἦν ἐν οἷς
the time dimmed nor the youth active was in which
νεότης ἐνεργὴς γνωρίζεται· ἀλλά τις ἦν μῖξις θαυμαστὴ
youth active is-recognized but some was mixture wonderful
τῶν ἐναντίων ἐν ἑκατέρᾳ ἡλικίᾳ, μᾶλλον ὑπαλλαγὴ τῶν
of-the opposites in each age rather exchange of-the
ἰδιωμάτων. Ἐν γήρᾳ μὲν τῆς δυνάμεως πρὸς τὸ ἀγαθὸν
properties in old-age indeed the power toward the good

νεαζούσης, ἐν μειρακίῳ δὲ τῆς νεότητος πρὸς τὸ κακὸν
being-young in boyhood but the youth toward the evil
ἀπρακτούσης.
being-inactive
Εἰ δὲ καὶ τοὺς ἔρωτας τῆς ἡλικίας ἐκείνης ἀναζητήσεις,
if but also the loves of-the age that you-will-seek
μίμησαι τὸ σφοδρὸν καὶ διάπυρον τοῦ θείου τῆς σοφίας
imitate the vehemence and fieriness of-the divine of-the wisdom
ἔρωτος, ᾧ ἐκ νηπίας συνηυξήθη, καὶ μέχρι γήρως
love with-which from infancy he-grew-up and until old-age
διήρκεσεν. Εἰ δὲ ἀδυνατεῖς πρὸς αὐτὸν ὁρᾷν, καθάπερ
it-lasted if but you-are-unable toward him to-look as
πρὸς τὸν ἥλιον οἱ τοὺς ὀφθαλμοὺς ἐμπαθέστεροι· σὺ
toward the sun the(-ones) in-the eyes more-affected you
δὲ ἀπόβλεψον εἰς τὸν ὑπ' αὐτῷ τεταγμένον τῶν ἁγίων
but look to the under him ranked of-the saints
χορόν, τοὺς πρὸς μίμησιν τῶν καθ' ἡλικίαν
chorus the(-ones) for imitation of-the(-ones) according-to age
γενομένων τῷ βίῳ λάμποντας. Τοῦτον τέθεικε σκοπὸν
having-been in-the life shining this-one has-set aim
ὁ Θεὸς τῇ ἡμετέρᾳ ζωῇ. Ἐν οἷς πολλοὶ ταῖς ἡλικίαις
— God for-the our life among whom many in-the ages
νεάζοντες, ἐν τῷ καθαρῷ τῆς σωφροσύνης ἐπολιώθησαν,
being-young in the purity of-the temperance grew-gray
φθάσαντες τῷ λογισμῷ τὸ γῆρας, καὶ τῷ τρόπῳ
having-outrun by-the reasoning the old-age and by-the manner
παρελθόντες τὸν χρόνον· οἳ τὸν τῆς σοφίας ἔρωτα μόνον
having-surpassed the time who the of-the wisdom love only
ἐγνώρισαν, οὐχ ὅτι φύσεως ἑτέρως εἶχον (ἐν ἅπασι
knew not because of-nature otherwise they-were in all
γὰρ ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος), ἀλλ' ἐπειδὴ
for the flesh desires against the spirit but since

καλῶς ἤκουσαν τοῦ εἰπόντος, ὅτι ἡ σωφροσύνη ξύλον
well they-heard the(-one) having-said that the temperance tree
ἐστὶ ζωῆς πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς· ἐπὶ τούτου
is of-life to-all the(-ones) holding-fast to-her on this
τοῦ ξύλου τὸν τῆς ζωῆς κλύδωνα ὥσπερ ἐπὶ σχεδίας
the tree the of-the life surge as on raft
τινὸς διαπλεύσαντες, εἰς τὸν λιμένα τοῦ θελήματος τοῦ
some having-sailed-through into the harbor of-the will —
Θεοῦ καθωρμίσθησαν. Καὶ νῦν ἐν εὐδίᾳ καὶ γαλήνῃ
of-God they-were-anchored and now in fair-weather and calm
τὴν ψυχὴν ἀκύμαντον ἔχουσι, μακαριστοὶ τῆς εὐπλοΐας·
the soul waveless they-have blessed of-the good-voyage
οἳ τὸ καθ' ἑαυτοὺς ἐπὶ τῆς ἀγαθῆς ἐλπίδος, ὥσπερ
who the(-thing) as-for themselves on the good hope as
ἐπί τινος ἀσφαλοῦς ἀγκύρας βεβαιωσάμενοι, πόρρω τῶν
on some secure anchor having-made-firm far from-the
κυμάτων τῆς ταραχῆς ἀτρεμοῦντες, καθάπερ πυρσούς
waves of-the turmoil being-still as beacons
τινας ἀπὸ ὑψηλῆς φρυκτωρίας, τὴν τῶν ἰδίων βίων
some from high signal-station the of-the own lives
λαμπρότητα τοῖς ἑπομένοις προέθηκαν. Οὐκοῦν ἔχομεν
brightness to-the(-ones) following set-forth therefore we-have
πρὸς ὃν ἀποβλέποντες ἀσφαλῶς τὸν κλύδωνα τῶν
to whom looking securely the surge of-the
πειρασμῶν διαφυγεῖν. Τί μοι πολυπραγμονεῖς εἴ τινες
temptations to-escape why to-me do-you-busy-yourself if some
τῶν ταῦτα διανοηθέντων ἡττήθησαν, καὶ διὰ τοῦτο
of-the(-ones) these-things having-intended were-worsted and because-of this
ἀπογινώσκεις ὡς ἀμηχάνου τοῦ πράγματος; Πρὸς τὸν
you-despair as impossible of-the thing to the(-one)
κατορθωκότα βλέπε, καὶ θαρρῶν κατατόλμησον τῆς
having-achieved look and taking-courage venture-on the

ἀγαθῆς ναυτιλίας τῇ ἐπιπνοίᾳ τοῦ ἁγίου Πνεύματος,
good voyage by-the inspiration of-the holy Spirit
ὑπὸ κυβερνήτῃ τῷ Χριστῷ ἐν τῷ πηδαλίῳ τῆς
under helmsman — Christ in the rudder of-the
εὐφροσύνης εὐθυνόμενος. Οὐδὲ γὰρ οἱ καταβαίνοντες
gladness being-steered not-even for the(-ones) going-down
εἰς θάλασσαν ἐν πλοίοις, καὶ ποιοῦντες ἐργασίαν ἐν
into sea in ships and doing work in
ὕδασι πολλοῖς, τὸ συμβάν τινι ναυάγιον κώλυμα
waters many the having-befallen to-someone shipwreck hindrance
τῶν ἐλπίδων πεποίηνται· ἀλλὰ τὴν ἀγαθὴν ἐλπίδα
of-the hopes have-made but the good hope
ἑαυτῶν προβαλλόμενοι, ἐπὶ τὸ πέρας τοῦ κατορθώματος
their-own putting-forward to the end of-the achievement
σπεύδουσιν. Ἢ οὐχὶ πάντων ἀτοπώτατον ἂν εἴη, τὸ
they-hasten or not of-all most-absurd — would-it-be the
μὲν σφαλῆναί τινα ἐν τῷ ἠκριβωμένῳ πονηρὸν τίθεσθαι,
indeed to-have-slipped someone in the exactness wicked to-set-down
ὅλον δὲ τὸν βίον καταγηρῶντας ἐν σφάλμασιν ἄμεινον
whole but the life growing-old in failures better
ἡγεῖσθαι βουλεύεσθαι;
to-think to-deliberate
Εἰ γὰρ δεινόν ἐστιν ἅπαξ προσεγγίσαι τῇ ἁμαρτίᾳ, καὶ
if for terrible is once to-draw-near to-the sin and
διὰ τοῦτο ἀσφαλὲς εἶναι νομίζεις τὸ μηδὲ ἐγχειρεῖν τῷ
because-of this safe to-be you-think the not-even to-attempt the
ὑψηλοτέρῳ σκοπῷ· πόσῳ χαλεπώτερόν ἐστιν ἐπιτήδευμα
higher aim how-much harder is practice
βίου τὴν ἁμαρτίαν ποιήσασθαι, καὶ διὰ τοῦτο ἀμέτοχον
of-life the sin to-make and because-of this without-share
καθόλου τῆς καθαρωτέρας διαμεῖναι ζωῆς; Πῶς ἀκούῃς
altogether of-the purer to-remain life how do-you-hear

τοῦ ἐσταυρωμένου, ὁ ζῶν, τοῦ ἀποθανόντος τῇ
the(-one) having-been-crucified you-who living the(-one) having-died to-the
ἁμαρτίᾳ, ὁ κατ᾽ αὐτὴν ὑγιαίνων, τοῦ κελεύοντος
sin you-who according-to it being-healthy the(-one) commanding
τὴν ἀκολούθησιν ὀπίσω αὐτοῦ, ὥσπερ τι τρόπαιον κατὰ
the following after him as some trophy against
τοῦ Ἀντικειμένου τὸν σταυρὸν ἐπὶ τοῦ σώματος φέροντος,
the Adversary the cross on the body bearing
ὁ μὴ σταυρούμενος τῷ κόσμῳ, καὶ τὴν νέκρωσιν
you-who not being-crucified to-the world and the deadening
τῆς σαρκὸς μὴ δεχόμενος; Πῶς πείθῃ τῷ παρακαλοῦντί
of-the flesh not receiving how do-you-obey the exhorting
σε Παύλῳ, παραστῆσαι τὸ σῶμά σου θυσίαν ζῶσαν,
you Paul to-present the body your sacrifice living
ἁγίαν, εὐάρεστον τῷ Θεῷ, ὁ συσχηματιζόμενος τῷ
holy well-pleasing — to-God you-who conforming to-the
αἰῶνι τούτῳ, καὶ μὴ μεταμορφούμενος τῇ ἀνακαινώσει
age this and not being-transformed by-the renewal
τοῦ νοός σου, μηδὲ περιπατῶν ἐν τῇ καινότητι τῆς
of-the mind your nor walking in the newness of-the
ζωῆς ταύτης, ἀλλ᾽ ἔτι τὴν ἀκολουθίαν τῆς τοῦ παλαιοῦ
life this but still the sequence of-the of-the old
ἀνθρώπου ζωῆς περιέπων; Πῶς ἱερατεύεις Θεῷ, καίτοι
man life cherishing how do-you-serve-as-priest to-God and-yet
εἰς αὐτὸ τοῦτο χρισθείς, εἰς τὸ προσφέρειν δῶρον
for itself this having-been-anointed for the to-offer gift
τῷ Θεῷ, δῶρον δὲ οὐκ ἀλλότριόν τι πάντως, οὐδὲ
— to-God gift but not another's anything altogether nor
ὑποβολιμαῖον ἐκ τῶν ἔξωθέν σοι παρεπομένων,
substituted from the(-things) from-outside you attending
ἀλλὰ τὸ ἀληθῶς σόν, ὅπερ ἐστὶν ὁ ἔσω ἄνθρωπος,
but the(-thing) truly yours which is the inner man

τέλειός τε καὶ ἄμωμος εἶναι ὀφείλων, κατὰ τὸν
perfect both and blameless to-be owing according-to the
περὶ τοῦ ἀμνοῦ νόμον, πάσης κηλῖδος τε καὶ λώβης
about the lamb law of-every stain both and blemish
ἀπηλλαγμένον; Πῶς οὖν ταῦτα προσοίσεις Θεῷ, ὁ
freed how then these-things will-you-offer to-God you-who
μὴ ἀκούων τοῦ κωλύεσθαι ἱερᾶσθαι τὸν ἄναγνον;
not hearing of-the to-be-prevented to-serve-as-priest the impure
Εἰ δὲ καὶ τὸν Θεὸν ἐπιφανῆναί σοι ποθεῖς, τί οὐκ
if but also — God to-appear to-you you-long-for why not
ἀκούεις τοῦ Μωσέως, καθαρεύειν ἀπὸ γάμου τῷ λαῷ
do-you-hear — Moses to-keep-pure from marriage the people
παραγγέλλοντος, ἵνα χωρήσωσι τοῦ Θεοῦ τὴν ἐμφάνειαν;
commanding that they-may-receive — of-God the appearing
Εἰ δὲ μικρά σοι ταῦτα δοκεῖ, τὸ συσταυρωθῆναι
if but small to-you these-things seem the to-be-crucified-with
Χριστῷ, τὸ παραστῆσαι ἑαυτὸν θυσίαν Θεῷ, τὸ ἱερέα
Christ the to-present oneself sacrifice to-God the priest
γενέσθαι τοῦ Θεοῦ τοῦ ὑψίστου, τὸ τῆς μεγάλης τοῦ Θεοῦ
to-become — of-God the highest the of-the great — of-God
ἐπιφανείας ἀξιωθῆναι· τί σοι τούτων ἐπινοήσωμεν
appearing to-be-deemed-worthy what for-you of-these shall-we-devise
ὑψηλότερον, εἴπερ σοι μικρὰ καὶ τὸ ἀπὸ τούτων
higher if-indeed to-you small also the(-thing) from these
δόξει; Ἐκ μὲν γὰρ τοῦ συσταυρωθῆναι, καὶ συζῆσαι,
will-seem from indeed for the to-be-crucified-with both to-live-with
καὶ συνδοξασθῆναι, καὶ συμβασιλεῦσαι προσγίνεται· ἐκ δὲ
and to-be-glorified-with and to-reign-with accrues from but
τοῦ ἑαυτὸν παραστῆσαι τῷ Θεῷ, ἀπὸ τῆς ἀνθρωπίνης
the oneself to-present — to-God from the human
φύσεως καὶ ἀξίας, εἰς τὴν ἀγγελικήν ἐστι μετατάξασθαι.
nature and dignity into the angelic it-is to-be-transferred

Οὕτω γάρ φησι καὶ ὁ Δανιήλ, ὅτι «Χίλιαι χιλιάδες
so for says also — Daniel that thousand thousands
παρειστήκεισαν αὐτῷ.»
stood-by him
Ὁ δὲ τῆς ἀληθινῆς ἱερωσύνης λαβόμενος, καὶ τῷ
the(-one) but of-the true priesthood having-laid-hold-of and to-the
μεγάλῳ ἀρχιερεῖ ἑαυτὸν συντάξας, μένει πάντως καὶ
great high-priest himself having-ranked remains altogether also
αὐτὸς ἱερεὺς εἰς τὸν αἰῶνα, οὐκέτι θανάτῳ παραμένειν
himself priest for the age no-longer by-death to-remain
εἰς τὸ διηνεκὲς κωλυόμενος. Τοῦ δὲ τὸν Θεὸν εἰπεῖν
for the continual being-prevented of-the but — God to-say
καταξιωθῆναι ἰδεῖν, οὐκ ἄλλος τίς ἐστιν ὁ καρπός, ἢ
to-be-deemed-worthy to-see not other any is the fruit than
αὐτὸ τοῦτο τὸ καταξιωθῆναι τὸν Θεὸν ἰδεῖν. Πάσης
itself this the to-be-deemed-worthy — God to-see of-every
γὰρ ἐλπίδος ἡ κορυφή, καὶ πάσης ἐπιθυμίας, εὐλογίας
for hope the summit and of-every desire of-blessing
τε Θεοῦ, ἐπαγγελίας πάσης, καὶ τῶν ἀῤῥήτων ἀγαθῶν,
and of-God of-promise every and of-the unspeakable good-things
τῶν ὑπὲρ αἴσθησίν τε καὶ γνῶσιν πεπιστευμένων,
the(-ones) above sense both and knowledge believed
τὸ πέρας καὶ τὸ κεφάλαιον τοῦτό ἐστιν, ὃ καὶ
the end and the chief this is which also
ὁ Μωσῆς ἰδεῖν ἐπεπόθησε, καὶ πολλοὶ προφῆται καὶ
— Moses to-see longed and many prophets and
βασιλεῖς ἐπεθύμησαν· ἀξιοῦνται δὲ μόνοι οἱ καθαροὶ
kings desired are-deemed-worthy but alone the pure
τῇ καρδίᾳ, οἱ διὰ τοῦτο ὄντως μακάριοι καὶ
in-the heart the(-ones) because-of this truly blessed both
ὄντες καὶ ὀνομαζόμενοι, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται·
being and being-named because they — God will-see

ὧν ἕνεκα καὶ σὲ βουλόμεθα γενέσθαι συσταυρωθέντα
of-which for-the-sake also you we-wish to-become crucified-with
Χριστῷ, παραστάντα τῷ Θεῷ ἁγνὸν ἱερέα, καὶ καθαρὸν
Christ having-stood-by — to-God pure priest and pure
θῦμα γενόμενον, ἐν πάσῃ καθαρότητι διὰ τῆς ἁγνείας
victim having-become in all purity through the chastity
ἑαυτὸν ἑτοιμάσαντα τῇ τοῦ Θεοῦ παρουσίᾳ· ἵνα καὶ
yourself having-prepared for-the — of-God presence that also
αὐτὸς ἴδῃς τὸν Θεὸν ἐν καθαρᾷ τῇ καρδίᾳ, κατὰ
yourself may-see — God in pure the heart according-to
τὴν ἐπαγγελίαν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ
the promise — of-God and Savior our Jesus
Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Christ to-whom the glory for the ages of-the ages
Ἀμήν.
amen
